ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ Η ΗΘΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ.

Διδακτορικὴ διάτριβὴ

ὑπὸ

ΓΕΡΜΑΝΟΥ ΒΑΣΙΛΑΚΗ

διδάκτορος τῆς φιλοσοφίας.

ERLANGEN.

K. b. Hof- und Univ.-Buchdruckerei von Fr. Junge (Junge & Sohn).

1892.

Πάντες σχεδὸν οἱ παρὰ τοῖς Ἕλλησι φιλοσοφήσαντες καὶ ἰδίᾳ οἱ μετὰ Σωκράτη ἀκμάσαντες διαπρεπεῖς τῆς ἀρχαιότητος φιλόσοφοι, οἱ καὶ ἰδίων σχολῶν ἱδρυταὶ γενόμενοι, Πλάτων, Ἀριστοτέλης, Ζήνων καὶ Ἐπίκουρος, μελέτης βαθείας καὶ πολλοῦ λόγου ἠξίωσαν τὸ περὶ τοῦ τέλους τοῦ ἀνθρώπου ζήτημα. Πάντων δὲ τούτων πνευματικωτέρα καὶ τῇ Χριστιανικῇ διδασκαλίᾳ ἐγγυτέρα ἔδοξε τοῖς Πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας ἡ τοῦ Πλάτωνος διδασκαλία εἶναι, τέλος τοῦ ἀνθρώπου τὴν κατὰ τὸ δυνατὸν ὁμοίωσιν τῷ Θεῷ, ὡς τῷ ὑψίστῳ ἀγαθῷ, κηρύττουσα. Ἐντεῦθεν πολλῶν πολλάκις ἀπολαύει παρὰ τούτοις Πλάτων ἐγκωμίων, καὶ δὴ τὰ διδάγματα αὐτοῦ οὐκ ἀλλότρια τοῦ Χριστοῦ Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς ἐν τῇ πρώτῃ αὐτοῦ ἀπολογίᾳ ἡγεῖται εἶναι. Κλήμης δ' ὁ Ἀλεξανδρεύς, ὁ τῆς ἐν Ἀλεξανδρείᾳ κατηχητικῆς σχολῆς πολυμαθέστατος διδάσκαλος, οὗ τὴν ἠθικὴν διδασκαλίαν ἐκ τῶν ὧν ἡμῖν καταλέλοιπε σοφῶν συγγραμμάτων ἐκθέσθαι προτιθέμεθα, τὸν Πλάτωνα καὶ οὗτος φαίνεται περὶ πλείστου ποιούμενος· κατ' αὐτὸν γὰρ πάντων τῶν φιλοσόφων μάλιστα Πλάτων τὴν ἀλήθειαν ἐζήλωκε, φιλαλήθης ἐστὶ καὶ οἷον θεοφορούμενος καὶ πάντα ἄριστος[1]), μόνον οὐχὶ δὲ καὶ προφητικοῦ

---

1) *Παιδαγ.* II, 1 § 18. *Στρωμ.* I, VIII. § 42. — V, X. § 67. — V, XII. § 79. *Παιδ.* III, XI. § 54. — *Ἐν τῇ μελέτῃ τῶν συγγραμμάτων τοῦ Κλήμεντος εἴχομεν ἀνὰ χεῖρας τὴν ἐν Λειψίᾳ* (1831, 1832, 1834) *ὑπὸ* R. Klotz *γενομένην τετράτομον αὐτῶν ἔκδοσιν, διὸ καὶ κατὰ ταύτην τὰς παραπομπὰς ποιούμεθα.*

ἠξιώθη χαρίσματος, τὴν σωτήριον προφητεύων οἰκονομίαν ἐν τῷ δευτέρῳ τῆς Πολιτείας βιβλίῳ. [1]) *Ἀλλὰ καίπερ οὕτως ἐπαινῶν καὶ θαυμάζων τὸν Πλάτωνα ὁ Κλήμης, οὐκ ἔστι κυρίως εἰπεῖν Πλατωνικὸς ἢ Ἀριστοτελικὸς ἢ Στωϊκὸς ἢ Ἐπικούρειος, ἀλλὰ μᾶλλον ἐκλεκτικός* [2]), *πανταχόθεν ἐκ πάντων τῶν Ἑλλήνων φιλοσόφων φιλοπόνου μελίττης δίκην πᾶν τὸ ἀληθὲς καὶ λυσιτελὲς δρεπόμενος καὶ εἰς Χριστὸν αἰχμαλωτίζων· πᾶσα γὰρ παρὰ τοῖς Ἕλλησιν ἀλήθεια ἢ ἐκ τῆς Ἑβραίων εἴληπται θεολογίας* [3]) *ἢ ἀνθρωπίνῳ στοχασμῷ καὶ ἐπιλογισμῷ εὕρηται* [4]) *ἢ σπέρματά ἐστι τοῦ κυρίου Λόγου* [5]). *Πᾶσαν δὲ παρὰ τοῖς Ἐθνικοῖς ἀλήθειαν ἐπιμελῶς ἐκζητεῖ καὶ τιμᾷ Κλήμης, ἵνα καὶ παρ᾽ αὐτοῖς ἐνεργοῦσαν καὶ τούτους διὰ*

1) *Στρωμ.* V, XIV. § 109. — *„Οὕτω διακείμενος ὁ δίκαιος μαστιγωθήσεται, στρεβλωθήσεται, δεθήσεται, ἐκκοπήσεται τὼ ὀφθαλμώ, τελευτῶν πάντα κακὰ παθὼν ἀνασκινδυλευθήσεται“.* — 2) *Φιλοσοφίαν δὲ οὐ τὴν Στωϊκὴν λέγω οὐδὲ τὴν Πλατωνικὴν ἢ τὴν Ἐπικούρειόν τε καὶ Ἀριστοτελικήν, ἀλλ᾽ ὅσα εἴρηται παρ᾽ ἑκάστῃ τῶν αἱρέσεων τούτων καλῶς, δικαιοσύνην μετ᾽ εὐσεβοῦς ἐπιστήμης ἐκδιδάσκοντα, τοῦτο σύμπαν τὸ ἐκλεκτικὸν φιλοσοφίαν φημί· ὅσα δὲ ἀνθρωπίνων λογισμῶν ἀποτεμόμενοι παρεχάραξαν, ταῦτα οὐκ ἄν ποτε θεῖα εἴποιμ᾽ ἄν. Στρωμ.* I, VII. § 37. — VI, VII. § 55. — 3) *Στρωμ.* VI, VII. § 55. — V, V. § 29. *Προτρ.* VI. § 70. *Παιδ.* II, I. § 18. *Οὕτως ἐφρόνουν Ἀριστόβουλος καὶ Φίλων οἱ Ἰουδαῖοι, Μεγασθένης ὁ συγγραφεὺς ὁ Σελεύκῳ τῷ Νικάτορι συμβεβιωκώς, ὡς λέγει Κλήμης (Στρωμ.* I, XV. § 72). *Νουμήνιος ὁ Πυθαγόρειος ὁ τὸν Πλάτωνα Μωϋσῆν ἀττικίζοντα ἀποκαλῶν (Στρωμ.* I, XXII. § 150). *Εὐπόλεμος ὁ περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων γράφας (Στρωμ.* I, XXIII. § 153), *Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς, Τατιανός, Τερτυλλιανὸς καὶ πλεῖστοι τῶν Γνωστικῶν.* — 4) *Προτρ.* VI. § 64. *Στρωμ.* V, XIII. § 88. *πρβλ. Ἰουστίν. φ. καὶ μ. Ἀπολ. β΄.* c. 6. — 5) *Εἷς γάρ ὁ τῆς ἐν ἀνθρώποις γῆς γεωργός ὁ ἄνωθεν σπείρων ἐκ καταβολῆς κόσμου τὰ θρεπτικὰ σπέρματα, ὁ τὸν κύριον καθ᾽ ἕκαστον καιρὸν ἐπομβρίσας Λόγον, οἱ καιροὶ δέ καὶ οἱ τόποι οἱ δεκτικοὶ τὰς διαφορὰς ἐγέννησαν. Στρωμ.* I, VII. § 37. *Οὕτω καὶ Ἰουστῖνος, „Λόγος, οὗ πᾶν γένος ἀνθρώπων μετέσχεν“ (Ἀπολ. α΄.* c. 46). *„διὰ τὸ ἔμφυτον παντὶ γένει ἀνθρώπων σπέρμα τοῦ Λόγου· οἱ γὰρ συγγραφεῖς πάντες διὰ τῆς ἐνούσης ἐμφύτου τοῦ Λόγου σπορᾶς ἀμυδρῶς ἐδύναντο ὁρᾶν τὰ ὄντα“ (Ἀπολογ. β΄.* c. 8.) *πρβλ. Τατιαν. πρὸς τοὺς Ἕλληνας. Εἰρην.* II, 30. — IV, 7. § 2. — Tertul. contra Herm. c. 5.

τῆς καθ' ὅλου παιδείας καὶ ἰδίᾳ τῆς φιλοσοφίας εἰς τὸ μέγα τῆς ἀπολυτρώσεως ἔργον προπαρασκευάζουσαν καταδείξῃ τὴν θείαν πρόνοιαν [1]).

Οὐκ ἄπορον τοίνυν, εἰ οὕτως ἔχων περὶ τῆς φιλοσοφίας ὁ Κλήμης γνώμης, συχνάκις λέξει καὶ φράσει ὅλως φιλοσοφικῇ χρῆται πρὸς παράστασιν τῶν τε δογματικῶν καὶ ἠθικῶν αὐτοῦ ἰδεῶν. Τὴν δ' ἠθικὴν αὐτοῦ διδασκαλίαν, ἐν τοῖς περισωθεῖσι τέτταρσι συγγράμμασι λίαν ἀτάκτως ἐρριμένην, σαφηνείας χάριν οὕτω διετάξαμεν.

Α'. Περὶ τοῦ τέλους τοῦ ἀνθρώπου, ἤτοι τοῦ ὑψίστου ἀγαθοῦ.

Β'. Περὶ ἐλευθερίας καὶ Χάριτος.

Γ'. Περὶ καθήκοντος καὶ ἀρετῆς.

Δ'. Περὶ ἐγκρατείας καὶ ἀπαθείας.

Ε'. Περὶ τοῦ Γνωστικοῦ ἰδίᾳ παραβαλλομένου τῷ τῆς Στωᾶς σοφῷ.

Α'. Περὶ τοῦ τέλους τοῦ ἀνθρώπου, ἤτοι τοῦ ὑψίστου ἀγαθοῦ.

§ 1. *Ὁ Κλήμης πολλαχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων ποιεῖται λόγον περὶ τοῦ τέλους τοῦ ἀνθρώπου, ἤτοι τοῦ ὑψίστου ἀγαθοῦ, ἰδίᾳ δ' ἐν Στρωματ.* II, XXI—XXII. § 127

---

1) *Θείας ἔργον προνοίας καὶ φιλοσοφίαν Στρωμ.* I, 1. § 18. *πρβλ.* I. XVII. § 87. — *Πάντων αἴτιος τῶν καλῶν ὁ Θεός, ἀλλὰ τῶν μὲν κατὰ προηγούμενον ὡς τῆς τε διαθήκης τῆς παλαιᾶς καὶ τῆς νέας, τῶν δέ κατ' ἐπακολούθημα ὡς τῆς φιλοσοφίας· τάχα δὲ καὶ προηγουμένως τοῖς Ἕλλησιν ἐδόθη τότε πρὶν ἢ τὸν Κύριον καλέσαι καὶ τοὺς Ἕλληνας· ἐπαιδαγώγει γὰρ καὶ αὕτη τὸ Ἑλληνικὸν ὡς ὁ νόμος τοὺς Ἑβραίους εἰς Χριστόν· προπαρασκευάζει τοίνυν ἡ φιλοσοφία προοδοποιοῦσα τὸν ὑπὸ Χριστοῦ τελειούμενον. Στρωμ.* I, V. § 28. — *Καθάπερ Ἰουδαίους σώζεσθαι ἠβούλετο ὁ Θεὸς τοὺς προφήτας διδούς, οὕτω καὶ Ἑλλήνων τοὺς δοκιμωτάτους οἰκείους αὐτῶν τῇ διαλέκτῳ προφήτας ἀναστήσας, ὡς οἷοί τε ἦσαν δέχεσθαι τὴν παρὰ Θεοῦ εὐεργεσίαν τῶν χυδαίων ἀνθρώπων διέκρινεν. Στρωμ.* VI, V. § 42. *πρβλ.* V, III. § 18.

136, ἔνθα τὰς περὶ τούτου δόξας πάντων τῶν ἐπιφανεστέρων φιλοσόφων ἐκτιθείς, ἐξαίρει τὴν περὶ εὐδαιμονίας διδασκαλίαν τοῦ Πλάτωνος, λέγων „τὴν εὐδαιμονίαν τὸ τελειότατον ἀγαθὸν καὶ πληρέστατον λέγει (Πλάτων)· ὅτε δὲ βίον ὁμολογούμενον καὶ σύμφωνον αὐτὴν ἀποκαλεῖ, καὶ ἔσθ' ὅτε τὸ κατ' ἀρετὴν τελειότατον, τοῦτο δέ ἐν ἐπιστήμῃ τοῦ ἀγαθοῦ τίθεται καὶ ἐν ἐξομοιώσει τῇ πρὸς τὸν Θεόν, ὁμοίωσιν ἀποφαινόμενος δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως εἶναι“ [1]). Τὴν γνώμην ταύτην ἀποδέχεται καὶ ἐπαινεῖ ὁ Κλήμης· τὸ γὰρ ὕψιστον ἀγαθὸν ἐν τῷ μακαρίῳ βίῳ, τὸν δὲ μακάριον βίον, τὸν ὁτὲ μὲν ἑαυτῷ ὁμολογούμενον καὶ σύμφωνον ὁτὲ δὲ κατ' ἀρετὴν τελειότατον, ἐν τῇ ἐπιγνώσει τίθησι τοῦ Θεοῦ καὶ τῇ πρὸς αὐτὸν ὁμοιώσει. Τοῦτο ἄρα ἐστὶ τὸ τῷ Θεῷ ὁμοιωθῆναι, δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι· τοῦτο δὲ πρεσβεύουσι καὶ ἐκεῖνοι τῶν Πατέρων τῆς Ἐκκλησίας, οἱ διάκρισιν τοῦ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ποιούμενοι, τὸ μὲν πρῶτον ταῖς ἐκ φύσεως πνευματικαῖς καὶ ἠθικαῖς προσγράφουσι δυνάμεσι, τὸ δὲ δεύτερον ταῖς ἐν τῷ βίῳ χάριτι θείᾳ καὶ ἀγῶσιν ἀνθρωπίνοις κατορθουμέναις ἀρεταῖς καὶ τελειότησιν [2]). Ἀλλὰ τίς ἕτερος τὴν δικαιοσύνην καὶ ἁγιότητα, τὴν τῷ Θεῷ ἐγγὺς φέρουσαν καὶ οἱονεὶ ἐξοικειοῦσαν, κτήσασθαι δύναται, ἢ ὁ τὸν Θεὸν ἐγνωκώς; Τῶν μὲν οὖν παρὰ τοῖς φιλοσόφοις ὁρισμῶν τῆς τοῦ Θεοῦ φύσεως μᾶλλον ἀμαυρούντων πολλάκις ἢ διασαφηνιζόντων τὸ ζητούμενον, πρὸς δὲ μὴ φερόντων τὴν τῆς ἀξιοπιστίας σφραγῖδα· ἀσθενὴς γὰρ ὢν φύσει ὁ ἀνθρώπινος

---

1) *Στρωμ.* II, XXI. § 31. *πρβλ.* III, IV. § 28. *Ἐφεσ.* 4, 20—24. 5, 1—4. *Πλ. Θεαιτ.* 176 *A.* *Διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. φυγὴ δὲ ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι.* — *Φαιδ.* 64 *A.* *Νομ.* IV. 716 c. *Πολιτ.* X. 613 *A οὐ γὰρ δὴ ὑπό γε Θεῶν ποτε ἀμελεῖται ὅς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι.* — 2) Luthardt, Komp. d. Dogmatik S. 153 § 39.

λόγος ἀδυνατεῖ τὰ τοῦ Θεοῦ ἐξειπεῖν οὐδ᾽ ἔστιν ἐχέγγυος διδάσκαλος περὶ Θεοῦ διδάσκων ἄνθρωπος, τὸ ἔργον περὶ τοῦ πεποιηκότος· μόνη ἀληθὴς καὶ τελεία ἐστὶν ἡ διὰ τοῦ σαρκωθέντος Λόγου γενομένη τοῦ Θεοῦ ἀποκάλυψις [1]), οὗ ἡ ἀγαθότης ἐν τοῖς ἔργοις ἐκφαίνεται [2]). Χριστιανοὶ ἄρα μόνοι, οὐχὶ πρὸς ἄγνωστον Θεόν, ἀλλὰ πρὸς τὸν Θεὸν διὰ τοῦ Λόγου ὡς οἷόν τε ὁμοιωθῆναι ἐπιζητοῦντες, τοῦ ὑψίστου ἀγαθοῦ ἐφικέσθαι δύνανται. Ἐντεῦθεν δῆλον ὅτι ὁ Κλήμης σαφῶς διδάσκει μόνους τοὺς θείας χάριτος διὰ τοῦ Λόγου ἠξιωμένους δύνασθαι καὶ ἀληθῶς λογικοὺς γενέσθαι καὶ τελείας υἱοθεσίας ἀπολαῦσαι· ὥστε ὅμοιον τῷ Θεῷ γενέσθαι, λογικὸν ἀληθῶς γενέσθαι καὶ ὑπὸ τοῦ Θεοῦ υἱοθετηθῆναι ταὐτόν ἐστιν· „ἥ τε πρὸς τὸν ὀρθὸν λόγον ὡς οἷόν τε ἐξομοίωσις τέλος ἐστὶ καὶ εἰς τὴν τελείαν υἱοθεσίαν διὰ τοῦ υἱοῦ ἀποκατάστασις δοξάζουσα ἀεὶ τὸν πατέρα διὰ τοῦ μεγάλου ἀρχιερέως τοῦ ἀδελφοὺς καὶ συγκληρονόμους καταξιώσαντος ἡμᾶς εἰπεῖν“ [3]). Ἐγγίσαι τῷ Θεῷ, ἁγιασμοῦ

1) Στρωμ. VI, XVIII. § 165, 166. Μόνη τοίνυν ἡ παρ᾽ ἡμῖν θεοδίδακτός ἐστι σοφία, ἀφ᾽ ἧς αἱ πᾶσαι πηγαὶ τῆς σοφίας ἤρτηνται, ὅσαι γε τῆς ἀληθείας στοχάζονται. — (Στρωμ. I, XXVIII. § 178. V, I. § 7. — 2) Ὥστε ἀγαθὸς μὲν ὁ Θεὸς δι᾽ ἑαυτόν, δίκαιος δὲ ἤδη δι᾽ ἡμᾶς, καὶ τοῦτο ὅτι ἀγαθός . . . πρὶν γὰρ κτίσιν γενέσθαι Θεὸς ἦν, ἀγαθὸς ἦν, καὶ διὰ τοῦτο καὶ δημιουργὸς εἶναι καὶ πατὴρ ἠθέλησε, καὶ ἡ τῆς ἀγάπης ἐκείνης σχέσις δικαιοσύνης γέγονεν ἀρχὴ καὶ τὸν ἥλιον ἐπιλάμποντος τὸν αὑτοῦ καὶ τὸν υἱὸν καταπέμποντος τὸν αὑτοῦ καὶ πρῶτος οὗτος τὴν ἐξ οὐρανῶν ἀγαθὴν κατήγγειλε δικαιοσύνην... ἔπειτα ἐπὶ τοὺς ἀνθρώπους καταβέβηκεν ἡ δικαιοσύνη καὶ γράμματι καὶ σώματι τῷ λόγῳ καὶ τῷ νόμῳ εἰς μετάνοιαν βιαζομένη σωτήριον· ἀγαθὴ γὰρ ἦν. Παιδ. I, IX. § 88. Ποιῶν δὲ ἰδίως ἀγαθά, Θεὸς ὄντως καὶ πατὴρ ἀγαθὸς ὢν τε καὶ γενόμενος ἐν ἀδιαλείπτοις εὐποιΐαις, ἐν ταὐτότητι τῆς ἀγαθωσύνης ἀπαραβάτως μένει· τί γὰρ ὄφελος ἀγαθοῦ μὴ ἐνεργοῦντος μηδὲ ἀγαθύνοντος; Στρωμ. VI. XII. § 104. — 3) Στρωμ. II. XXI. § 134. Τὴν παρὰ τῷ Κλήμεντι τῆς τῷ Θεῷ ὁμοιώσεως πρὸς τὴν ὀρθότητα τοῦ λόγου σχέσιν ἐκφράζει Reuter ὡς ἑξῆς: Dei assimilatio et rationis rectitudo artissime copulantur, neque tamen ita comparantur, ut Dei similem fieri et rationis vires excolere et perficere idem esse dicatur. Contra Clemens Alexandrinus eam Dei assimilationem a

καὶ αἰωνίου ζωῆς μέτοχος γενέσθαι καὶ οὕτω τοῦ ὑψίστου ἀγαθοῦ ἀπολαῦσαι δύναται ὁ τῇ εἰς Χριστὸν πίστει λυτρωθείς[1], *δικαιωθεὶς καὶ ἁγιασθείς, ὁ τῇ πηγῇ τῶν ἀγαθῶν, τῷ Λόγῳ, τῇ πίστει προσελθὼν καὶ τὸ ἅγιον αὐτοῦ παράδειγμα ἀεί ποτε ὡς οἷόν τε ἀποματτόμενος*[2].

§ 2. *Τὸ ὕψιστον ἀγαθὸν ἢ κατὰ Κλήμεντα ὁ αἰώνιος θησαυρός ἐστιν ὁ Θεός, τούτου δὲ μέτοχοι μόνοι Χριστιανοὶ γίγνονται διὰ τοῦ Λόγου, ὃς πλοῦτος ὢν ἀναφαίρετος καὶ παντὸς θησαυροῦ πολυτιμότερος, δωρεῖται μὲν ὑπὸ τοῦ Θεοῦ, μακάριον δὲ τῇ ἀληθείᾳ παρέχεται τὸν ἄνθρωπον,*

---

nullis aliis obtineri expressis verbis docet, nisi ab iis, qui, adjuvante gratia, per Christum et rationales et filiationis capaces redditi sind. (H. Reuter. Clem. Alex. theol. moral. capit. select. particulae p. 6).

1) *Κατὰ* Merk *ὁ Κλήμης ἀγνοεῖ τὴν ἔννοιαν καὶ ἀξίαν τῆς θυσίας τοῦ Ἰησοῦ Χριστοῦ καὶ ἑπομένως τὴν πρὸς τοὺς ἀνθρώπους μεγίστην καὶ πραγματικὴν αὐτοῦ εὐεργεσίαν καὶ χάριν*: Christus hilft den Menschen durch das Wissen, das er mittheilt, durch diess werden die Sünder erlöst. Wenn Clemens gelegentlich vom Opfer Christi spricht, so ist dies ein Anklang an die Schrift, der in seine Lehre nicht passt; ein objectives Verdienst Christi für die Menschen kennt er nicht (Merk, Clemens Alex. in sein. Abhängigk. von der gr. Phil. S. 53). — *Καθ' ἡμᾶς ὁ σοφὸς τῆς Ἀλεξανδρείας κατηχητὴς κατενόησε τὸ μυστήριον τοῦτο καὶ λίαν σαφῶς ἐδήλωσεν, ὀνομάσας τὸν Ἰησοῦν Χριστὸν ἀρχιερέα μέγαν, λύτρον ἑαυτὸν ὑπὲρ ἡμῶν ἐπιδεδωκότα, παθόντα, ἵνα τῷ πάθει αὐτοῦ ζήσωμεν, υἱὸν Θεοῦ ὑπὲρ ἡμῶν ἁγιαζόμενον καὶ ὑπὲρ ἡμῶν ἱερευθέντα, ἱερεῖον ὑπὲρ ἡμῶν τυθέν. Στρωμ.* II, XXI. § 134. — *Τίς ὁ σωζόμ. πλούσ.* § 37. *Στρωμ.* IV, VI. § 43. — V, XI. § 67. — VII, III. § 14. — *Παιδ.* I, I. § 23. — I, XI. § 97. *προβλ τὸ σαφέστατον „Ἑτέρωθεν ἄκουε τοῦ Σωτῆρος· ἐγώ σε ἀνεγέννησα, κακῶς ὑπὸ κόσμου πρὸς θάνατον γεγεννημένον ἠλευθέρωσα, ἰασάμην, ἐλυτρωσάμην, ἐγώ σοι δείξω Θεοῦ πατρὸς ἀγαθοῦ πρόσωπον . . . ἐγώ σου τροφεύς, ἄρτον ἐμαυτὸν διδούς, οὗ γευσάμενος οὐδεὶς ἔτι πεῖραν θανάτου λαμβάνει, καὶ πόμα καθ' ἡμέραν ἐνδιδοὺς ἀθανασίας· ἐγὼ διδάσκαλος ὑπερουρανίων παιδευμάτων, ὑπὲρ σοῦ πρὸς τὸν θάνατον διηγωνισάμην καὶ τὸν σὸν ἐξέτισα θάνατον, ὃν ὤφειλες ἐπὶ τοῖς προημαρτημένοις καὶ τῇ πρὸς τὸν θεὸν ἀπιστίᾳ". Τίς ὁ σωζόμ. πλούσ.* § 23. — 2) *Στρωμ.* VI, XIV. § 114. *Παιδ.* I, III, § 9.

κτῆμα τῷ κεκτημένῳ ἄριστον [1]. *Ὁ Λόγος, σοφία ὢν καὶ ἐπιστήμη* [2], *ἀποκαλύπτει τὸν τῶν ὅλων πατέρα, ὡς οἷόν τε ἀνθρωπίνῃ διανοίᾳ χωρῆσαι* [3]. *Ὁ τοίνυν τοῦ ὑψίστου ἀγαθοῦ, τοῦ Θεοῦ, ὀρεγόμενος ὀφείλει τὴν διὰ τοῦ Λόγου ἀποκαλυφθεῖσαν ἀλήθειαν ἐπιγνῶναι, ἵνα οὕτω τῇ θείᾳ χάριτι καὶ μόνῳ τῷ παρ' αὐτοῦ λόγῳ τὸ ἄγνωστον νοήσῃ* [4]. *Ὁ οὕτω τὸν Θεὸν γνοὺς τὸ θέλημα τοῦ Κυρίου ποιεῖ καὶ κοινωνὸς γίνεται ἀφθαρσίας* [5]. *„Τὸ ἀγνοεῖν τὸν Πατέρα θάνατός ἐστιν, ὡς τὸ γνῶναι ζωὴ αἰώνιος"* [6] *κατὰ τὸ τοῦ Σωτῆρος λόγιον, „αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν"* [7]. *Γνῶσις ἄρα Θεοῦ, κρηπῖδα ἔχουσα τὴν πίστιν, ἔσται τὸ γνώρισμα τοῦ τελείου χριστιανοῦ, ὃν ὁ Κλήμης γνωστικὸν εἴωθεν ἀποκαλεῖν· „τὴν πίστιν οὕτως ἀναγκαίαν τῷ γνωστικῷ ὑπάρχειν, ὡς τῷ κατὰ τὸν κόσμον τόνδε βιοῦντι πρὸς τὸ ζῆν τὸ ἀναπνεῖν· ὡς δ' ἄνευ τῶν τεσσάρων στοιχείων οὐκ ἔστι ζῆν, οὐδ' ἄνευ πίστεως γνῶσιν ἐπακολουθῆσαι· αὕτη τοίνυν κρηπίς ἀληθείας"* [8]. *Ἡ γνῶσις αὕτη οὐκ ἔστιν ἁπλῆ καὶ ἄγονος μελέτη καὶ θεωρία, οὐκ ἔστι ψιλὸς λόγος, ἀλλὰ θεία τις ἐπιστήμη, φῶς τι θεσπέσιον τῆς ψυχῆς, ἀποσοβοῦν πᾶν σκότος δυσσεβείας καὶ πλάνης, θερμαῖνον τὴν καρδίαν πρὸς τὸ ἀγαθόν, θεῖός τις ἔρως, ᾧ ἁλοῦσα ψυχή, κρατεῖ μὲν παθῶν καὶ ἐπιγείων*

1) *Παιδ.* III, VI, § 36. — 2) *Στρωμ.* I, XXVIII. § 178. — 3) *Στρωμ.* V, 1. § 7. — 4) *Στρωμ.* VI, VIII. § 70. — V, XII. § 83. — 5) *Θέλημα Θεοῦ ἐπίγνωσις Θεοῦ, ἥτις ἐστὶ κοινωνία ἀφθαρσίας Στρωμ.* IV, VI. § 27. — 6) *Στρωμ.* V, X. § 64. — 7) *Ἰωάν.* 17, 3. *Τὸ λόγιον τοῦτο τοῦ Κυρίου ἑρμηνεύων* Luthardt, *λέγει* „Aber ein *γινώσκειν* ist es: also nicht Erkenntniss bloss des Verstandes, sondern welche lebendige Aneignung des Objects von Seiten der erkennenden Persönlichkeit ist, ein Erkennen nicht ohne innerliche Gemeinschaft. Mit solchem Erkennen ist ewiges Leben bereits gesetzt, d. h. durch solches Erkennen der Mensch bereits mit dem göttlichen Inhalt erfüllt, weil es Erkenntniss des allein wahren Gottes und seines Gesandten J. Chr. ist" (C. E. Luthardt, das Johann. Evangelium, zweite Abtheil. S. 357). — 8) *Στρωμ.* II. XII. § 31.

ὑπερφρονεῖ, περιπολεῖ δὲ οὐρανὸν καὶ τοῦ μόνου ἐφετοῦ ἀπολαύει [1]). Ἡ γνῶσις αὕτη κέκτηται διπλοῦν χαρακτῆρα, θεωρητικὸν καὶ πρακτικόν, κατὰ δὲ τὸν Reuter ὑπερισχύει ὁ θεωρητικός „nomen τῆς γνώσεως hominis habitum eum significat qui et vitae sanctimonia et cognitionis perfectione constituatur, attamen ita affectum, ut cognoscendi ratio potissimum in eo praevaleat“ [2]). Τὴν τοιαύτην γνῶσιν μεγάλως ἐξαίρει ὁ Κλήμης, ἐξ αὐτῆς ἐξαρτῶν τήν τε γνησίαν ἀρετὴν καὶ τὴν ἀληθῆ εὐδαιμονίαν [3]). Ἐντεῦθεν ἔδοξέ τισι [4]) Κλήμης τὴν ὑπὸ Σωκράτους πρῶτον διδαχθεῖσαν ὑπὸ Πλάτωνος δ᾽ εἶτα ἀναπτυχθεῖσαν περὶ ἠθικῆς διδασκαλίαν ἀσπάσασθαι· κατὰ γὰρ Ἀριστοτέλη Σωκράτης ᾤετο ἀχώριστον εἶναι τῆς θεωρητικῆς γνώσεως τὴν πρακτικὴν ἀρετήν [5]), οἵ τε ὁμιληταὶ αὐτοῦ γενόμενοι, Ξενοφῶν καὶ Πλάτων, ταὐτὰ ἡμῖν περὶ τοῦ διδασκάλου αὐτῶν παραδεδώκασιν [6]). Ἀλλ᾽ ἐμοὶ δοκεῖ, ἐκ τῶν ἄνω εἰρημένων καὶ τοῦ ὅλου πνεύματος τῶν συγγραμμάτων αὐτοῦ τεκμαιρομένῳ, τὴν συμφωνίαν ταύτην μόνον περὶ τὰς λέξεις ὑπάρχειν. Κλήμης γὰρ Ἑλληνι-

---

1) Στρωμ. III, V. § 44. — IV, VI. § 40. — VII, XII. § 71. — VII, XIII. § 82. 2) H. Reuter p. 14. — 3) Στρωμ. VII, VII. § 47. — VI. XII. § 98. 99. — 4) Merk S. 61. — 5) „Σωκράτης φρονήσεις ᾤετο εἶναι πάσας τὰς ἀρετάς . . . λόγους τὰς ἀρετὰς ᾤετο εἶναι· ἐπιστήμας γὰρ εἶναι πάσας“ Ἀριστ. Ἠθικ. Νικομ. IV, 13. Ἐπιστήμας γὰρ ᾤετο εἶναι πάσας τὰς ἀρετάς, ὥσθ᾽ ἅμα συμβαίνειν εἰδέναι τε τὴν δικαιοσύνην καὶ εἶναι δίκαιον. Ἠθ. Εὐδ. I, 5 1216. 6. — 6) Σοφίαν δὲ καὶ σωφροσύνην οὐ διώριζεν, ἀλλὰ τῷ τὰ μὲν καλά τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς καὶ τῷ τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι σοφόν τε καὶ σώφρονα ἔκρινε . . . ἔφη δὲ καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν σοφίαν εἶναι . . καὶ οὔτ᾽ ἂν τοὺς ταῦτα εἰδότας ἄλλο ἀντὶ τούτων οὐδὲν προελέσθαι οὔτε τοὺς μὴ ἐπισταμένους δύνασθαι πράττειν Ξεν. Ἀπομν. III. 9, 4, 5. — Ὁ τὰ τεκτονικὰ μεμαθηκὼς τεκτονικὸς . . . ὁ τὰ ἰατρικὰ ἰατρικός· ὁ μεμαθηκὼς ἕκαστα τοιοῦτός ἐστιν, οἷον ἡ ἐπιστήμη ἀπεργάζεται· οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος Πλατ. Γοργ. 460. Πολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταῦτα ἀγαθὸς ἕκαστος ἡμῶν ἅπερ σοφός, ἃ δὲ ἀμαθὴς ταῦτα κακός . . Πλάτ. Λάχ. 194, D. πρβλ. Ueberweg - Heinze, Gesch. d. Phil. I. B. S. 102—3.

κῆς παιδείας εἰς ἄκρον ἐληλακὼς καὶ τῆς Ἑλληνικῆς φιλοσοφίας ἰδίᾳ ἐγκρατέστατος ὤν, χρῆται λέξεσι καὶ φράσεσιν ἔστιν ὅτε δὲ καὶ ὅλαις προτάσεσι καὶ ὁρισμοῖς, ἐξ Ἑλλήνων συγγραφέων καὶ δὴ φιλοσόφων εἰλημμένοις, αἰχμαλωτίζων πάντα εἰς Χριστόν, ἵνα τὴν δογματικὴν καὶ ἠθικὴν τοῦ Χριστιανισμοῦ διδασκαλίαν σαφέστερον καὶ ἀκριβέστερον ἐκθῆται, ὡς πλατύτερον περὶ τούτου ἐν τοῖς ἑπομένοις δηλώσομεν. Ἡ γνῶσίς ἐστιν ἐνέργεια ἀγαθή, αὐτὸ δὲ ἑαυτὸ ἡ καθ' ἑαυτὸ αἱρετέον ἀγαθόν· οὐ γάρ ἐστιν ἴδιον γνωστικοῦ χρείας τινὸς ἕνεκεν τῆς περὶ τὸν Θεὸν ἐφίεσθαι ἐπιστήμης, καὶ ὥς φησι Κλήμης „ἀπόχρη αὐτῷ αἰτία τῆς θεωρίας ἡ γνῶσις αὕτη“ 1)· τὴν ἔννοιαν δὲ ταύτην ἔτι μᾶλλον ἐπιτείνων, τολμηρότερόν πως ἀληθῶς ἀποφαίνεται, τὸν γνωστικὸν τῆς θείας ἐπιστήμης ἀνθέξεσθαι οὐχὶ διὰ τὸ σώζεσθαι βούλεσθαι, ἀλλ' ἵνα ἀεὶ νοῇ καὶ ἡ ἀΐδιος αὕτη θεωρία ζῶσα αὐτῷ ὑπόστασις γένηται (τολμήσας εἴποιμ' ἄν)· ἀλλὰ τὸ τολμηρὸν τῆς γνώμης ταύτης πάραυτα κατιδών, οἷον εἰ ἑαυτὸν ἐπανορθῶν, λέγει ὅτι ἡ γνῶσις αὕτη τοῦ Θεοῦ καὶ ἡ αἰώνιος σωτηρία οὐ κεχωρισμένα ἀλλήλων τυγχάνουσι, παντὸς δὲ μᾶλλον ἐν ταὐτότητί εἰσιν 2)· αὐστηρῶς δ' οὕτως ἐκφράζεται Κλήμης, βουλόμενος παντὸς τα-

---

1) Στρωμ. IV, IV. § 39. — IV, XXII. § 138. — 2) Στρωμ. IV, XXII. § 138. — Πέρα τοῦ μέτρου καὶ τοῦ δικαίου χωρεῖ Merk, νομίζων τὸν Κλήμεντα διὰ τῆς τοιαύτης διδασκαλίας οὐ μόνον ἀπὸ τοῦ Χριστιανισμοῦ ἀλλὰ καὶ ἀπὸ πάσης ἐν γένει θρησκείας ἀποτακτῆσαι· λέγει γάρ „Wenn auch das Object des Erkennens Gott ist, so ist doch das Erkennen um seiner selbst willen als höchster Zweck bestimmt, und sonach steht Clemens zunächst nicht auf christlichem, überhaupt nicht auf religiösem, sondern auf philosophischem Boden.“ (Merk. S. 21.) — Ἀλλὰ Κλήμης σαφῶς ἐνταῦθα λέγει τὴν γνῶσιν τοῦ Θεοῦ καὶ τὴν σωτηρίαν τὴν αἰώνιον μὴ εἶναι κεχωρισμένα, παντὸς δὲ μᾶλλον ἐν ταὐτότητι· ἡ συνάφεια δὲ τῶν δύο τούτων ἐννοιῶν ἀμέσως ὑπομιμνήσκει ἡμῖν τὸν λόγον τοῦ Κυρίου „αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν“ (Ἰωάν. 17, 3). πρβλ. Θέλημα Θεοῦ ἐπίγνωσις Θεοῦ, ἥτις ἐστὶ κοινωνία ἀφθαρσίας. Στρωμ. IV, VI. § 27. — VI, 1. § 2. —

πεινοῦ ἐλατηρίου ἐλεύθερον ἀποδεῖξαι τὸ ὕψιστον ἀγαθόν, τὴν γνῶσιν τοῦ Θεοῦ. Ὁ τέλειος ποιεῖ ἐκτενῶς τὸ ἀγαθόν, διότι ἐστὶν ἀγαθόν, οὐ διὰ δόξαν καὶ μισθόν, οὐ διὰ τὸν ἐκ τῶν ἀδικουμένων κίνδυνον, οὐδ' ἐκ φόβου ἢ δι' ἡδονὰς ἢ ἐλπίδι τῆς ἐπὶ δικαίοις κειμένης ἀμοιβῆς, ἀλλ' „ἀγάπῃ τοῦ ὄντος ἐραστοῦ ἑλκόμενος καὶ πρὸς τὸ δέον ἀγόμενος θεοσεβεῖ“· ὅθεν καὶ εἰ ἐξουσίαν λάβοι νηποινεὶ πράττειν τὰ ἀπηγορευμένα ἢ μισθὸν ἐπὶ τούτοις κομίζοιτο, ἢ τὸν Θεὸν λήσεσθαι ἐλπίζοι, οὐδ' ἂν οὕτως παύσαιτο τὸ ἀγαθὸν ποιῶν, „τὸ ὄντως καλὸν καὶ αἱρετὸν ἐξ ἑαυτοῦ καὶ ταύτῃ ἀγαπητὸν εἶναι ἅπαξ ἑλόμενος“[1]).

§ 3. Ἐκ τῆς τοιαύτης γνωστικῆς ἀρετῆς πηγάζει ἡ εὐδαιμονία, οὖσα τὸ τελειότατον καὶ πληρέστατον ἀγαθὸν κατὰ Πλάτωνα· αὐτάρκης γὰρ ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν, αἱ δ' ἀρεταὶ ἀπεργαστικαὶ εὐδαιμονίας[2])· ἓν μὲν τὸ εὐδαιμονεῖν, πολλαὶ δὲ αἱ τοῦτο παρεχόμεναι ἀρεταί, μία δὲ ἡ τούτων αἰτία καὶ πηγή, ἡ ἀλήθεια, ἧς ἡ εὕρεσις διὰ τοῦ Λόγου· ὁ Λόγος ἄρα αἰτία πάντων τούτων καὶ δὴ τῆς ἀληθείας, ἐξ ἧς αἱ ἀρεταί, ἐξ ὧν ἡ εὐδαιμονία. Ἡ διδασκαλία αὕτη τοῦ Κλήμεντος οὐ διαφέρει τῆς τοῦ Πλάτωνος καὶ Ἀριστοτέλους· ἀμφότεροι γὰρ καὶ οὗτοι τὴν εὐδαιμονίαν ἀχώριστον τῆς ἀρετῆς πρεσβεύουσιν εἶναι[3]). Τῇ τελείᾳ δὲ γνωστικῇ ἀρετῇ, ἧς ἀχώριστος ἡ εὐδαιμονία, συνέπεται εὐφροσύνη· „πρώτη γὰρ ὠφέλεια ἡ ἕξις ἡ γνωστική, ἡδονὰς

1) *Στρωμ.* IV, XXII. § 139, 146—148. — *Οὕτω διδάσκει καὶ Πλάτων τὴν ἀρετὴν καθ' ἑαυτὴν μετιτέον, εἰς οὐδὲν ἀποβλέποντα. Θεαιτ.* 176. B. — *Νόμ.* 716. C. *Μέν.* 71. E. *Κρίτ.* 49. B. — 2) *Ναὶ μὴν μόνον τὸ καλὸν ἀγαθὸν οἶδεν ἡ βάρβαρος φιλοσοφία καὶ τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν. Στρωμ.* V, XIV. § 97. — 3) *„Καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι“ Πλ. Σοφιστ.* 162. *„Δικαιοσύνης καὶ σωφροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες, κακίας δὲ οἱ ἄθλιοι ἄθλιοι“ Γοργ.* 508 *β.* — *„(ὁ λόγος) τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε . . . . . τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον ἀθλιώτατον“ Πολιτει.* IX. 580 B. *„Τὴν δ' εὐδαιμονίαν ὅτι χωρὶς ἀρετῆς ἀδύνατον ὑπάρχειν εἴρηται πρότερον . . . . . τὸ μὲν γὰρ εὐδαιμονεῖν ἀναγκαῖον ὑπάρχειν μετὰ τῆς ἀρετῆς“ Ἀριστ. Πολ.* VII. 9. 1328 b. 33.

ἀβλαβεῖς παρεχομένη καὶ ἀγαλλίασιν καὶ νῦν καὶ εἰς ὕστερον· τὴν δὲ ἀγαλλίασιν εὐφροσύνην εἶναί φασιν ἐπιλογισμὸν οὖσαν τῆς κατὰ τὴν ἀλήθειαν ἀρετῆς διά τινος ἑστιάσεως καὶ διαχύσεως ψυχικῆς"[1]). Ἡ εὐφροσύνη αὕτη τοῦ Κλήμεντος ὑπομιμνήσκει ἡμῖν τὴν παρὰ Πλάτωνι καὶ Ἀριστοτέλει ἡδονήν· ἀμφότεροι γὰρ οὗτοι τῆς Ἑλληνικῆς φιλοσοφίας οἱ κορυφαῖοι περὶ πολλοῦ τὴν τοιαύτην ἡδονὴν ἐν τοῖς ἑαυτῶν ποιοῦνται φιλοσοφήμασι· καὶ ὁ μὲν Πλάτων ἀποδέχεται τὴν καθαρὰν καὶ ἠθικὴν ἡδονὴν τὴν ἐκ τῆς θεωρίας τοῦ ἀγαθοῦ καὶ τῆς ἀσκήσεως τῆς ἀρετῆς πηγάζουσαν[2]), ὁ δ' Ἀριστοτέλης τὴν ἡδονὴν τελείωσιν ἐνεργείας καὶ οἱονεὶ ἐπιγιγνόμενον αὐτῇ καρπὸν ἡγεῖται εἶναι[3]).

Β΄. Περὶ ἐλευθερίας καὶ χάριτος.

§ 1. Τίνι τρόπῳ δ' ἐνεργεῖ ὁ χριστιανὸς ἐν τῷ ἔργῳ τῆς τελειώσεως; Ἐλευθέρως· ἐντεῦθεν πολὺν πολλαχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων ποιεῖται ὁ Κλήμης λόγον περὶ τῆς τοῦ ἀνθρώπου ἐλευθερίας, αὐτὴν μὲν θεόσδοτον δῶρον ἀποκαλῶν, τοὺς δὲ ταύτης στερουμένους μηκέτι ζῷα λογικὰ ἀλλ' ἄψυχα καὶ νευρόσπαστα ὄντα, πειρώμενος ἔκ τε τῆς

---

1) Στρωμ. VI, XII. § 99. πρβλ. VII, XVI. § 103. — 2) Πλ. Φιληβ. 51 A. „Τῷ φιλοσόφῳ ἄρα ἑπομένης ἁπάσης τῆς ψυχῆς καὶ μὴ στασιαζούσης ἑκάστῳ τῷ μέρει ὑπάρχει εἴς τε τἆλλα τὰ ἑαυτοῦ πράττειν καὶ δικαίῳ εἶναι, καὶ δὴ καὶ τὰς ἡδονὰς τὰς ἑαυτοῦ ἕκαστον καὶ τάς βελτίστας καὶ εἰς τὸ δυνατὸν τὰς ἀληθεστάτας καρποῦσθαι". Πολιτει. IX. 580 D. 586 E. — 3) „Τελειοῖ τὴν ἐνέργειαν ἡ ἡδονὴ οὐχ ὡς ἡ ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγιγνόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα" (Ἠθ. Νικομ. X. 4) „οἰόμεθά τε δεῖν ἡδονὴν παραμεμῖχθαι τῇ εὐδαιμονίᾳ, ἡδίστη δὲ τῶν κατ' ἀρετὴν ἐνεργειῶν ἡ κατὰ τὴν σοφίαν ὁμολογουμένως εἶναι . . . εὔλογον τοῖς εἰδόσι τῶν ζητούντων ἡδίω τὴν διαγωγὴν εἶναι" (Ἠθ. Νικομ. X. 7, 1177 a. 22). „Ἔστι δὲ καὶ ὁ βίος αὐτῶν (τῶν καλῶν κἀγαθῶν) καθ' αὐτὸν ἡδύς . . . . οὐδὲν δὴ προσδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν ὥσπερ περιάπτου τινός, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ" (Ἠθ. Νικομ. 1. 9. 1099 a 7). —

ἁγίας Γραφῆς καὶ τοῦ ὀρθοῦ λόγου τὴν ἐν τῷ ἀνθρώπῳ ὕπαρξιν αὐτῆς ἀποδεῖξαι[1]). Τῆς ὑπάρξεως τῆς ἐλευθερίας ὑπερασπίζει ὁ Κλήμης ἰδίᾳ κατὰ τῆς ψευδωνύμου Γνώσεως τῶν Βασιλειδιανῶν καὶ Οὐαλεντινιανῶν καὶ ἄλλων γνωστικῶν αἱρέσεων· οἱ μὲν γὰρ τὴν πίστιν φυσικὴν ἐπρέσβευον εἶναι καὶ φύσεως πλεονέκτημα, κατ' ἐπακολούθημα ἐκλογῆς ὑπερκοσμίου, οἱ δὲ τὴν γνῶσιν ἐκ πλεονεξίας διαφέροντος θείου σπέρματος· ἀμφότεροι δῆλον ὅτι τὴν περὶ θείας ἀπορροίας πανθεϊστικὴν τῶν Στωϊκῶν θεωρίαν ἀποδεχόμενοι[2]), ἠρνοῦντο μὲν τὴν ἐλευθερίαν, εἰσῆγον δὲ τὴν

1) Τὰ μὲν οὖν ἄλλα εἴργειν δύναταί τις προσπολεμῶν, τὸ δ' ἐφ' ἡμῖν οὐδαμῶς, οὐδ' ἂν μάλιστα ἐνίσταιτο, θεόσδοτον γὰρ τὸ δῶρον καὶ οὐχ ὑποπῖπτον ἄλλῳ τινί. Στρωμ. IV, XIX. § 126. — II, III. § 11, — II, IV § 12. — 2) Τὴν γνώμην ταύτην τῆς ψευδωνύμου Γνώσεως ἀνασκευάζων ὁ Κλήμης, λέγει ὅτι οὐδεμίαν πρὸς ἡμᾶς φυσικὴν σχέσιν ἔχει ὁ Θεός, ὡς οἱ τῶν αἱρέσεων κτίσται θέλουσιν· οὔτε γὰρ μόρια οὔτε φύσει τέκνα αὐτοῦ ἐσμεν· εἴη γὰρ ἂν οὕτως, ἡμῶν ἁμαρτανόντων, μερικῶς ἁμαρτάνων ὁ Θεός, „εἴ γε τὰ μέρη τοῦ ὅλου μέρη καὶ συμπληρωτικὰ τοῦ ὅλου, εἰ δὲ μὴ συμπληρωτικά, οὐδὲ μέρη εἴη ἂν“ (Στρωμ. II, XVI. § 74). Περὶ τοῦ αὐτοῦ ἀντικειμένου πραγματευόμενος ἀλλαχοῦ ὁ Κλήμης, λέγει, οἱ μὲν ἀμφὶ τὸν Πυθαγόραν θείᾳ μοίρᾳ τὸν νοῦν εἰς ἀνθρώπους ἥκειν φασίν, οἱ δ' ἀμφὶ τὸν Πλάτωνα νοῦν ἐν ψυχῇ θείας μοίρας ἀπόρροιαν ὑπάρχοντα κατοικίζουσιν, ἡμεῖς δὲ τῷ πεπιστευκότι προσεπιπνεῖσθαι τὸ ἅγιον Πνεῦμά φαμεν . . . ἀλλ' ουχ ὡς μέρος Θεοῦ ἐν ἑκάστῳ ἡμῶν τὸ Πνεῦμα (Στρωμ. V, XIII § 89): περὶ δὲ τῆς δημιουργίας τοῦ ἐν ἡμῖν πνεύματος ἐρωτῶν, τίς ἐνεφύσησε ψυχήν; ἀποκρίνεται, „ὁ ἀριστοτέχνης πατὴρ τοιοῦτον ἄγαλμα ἔμψυχον ἡμᾶς, τὸν ἄνθρωπον, ἔπλασεν . . . εἰκὼν τοῦ Θεοῦ ὁ Λόγος αὐτοῦ, φωτὸς ἀρχέτυπον φῶς· εἰκὼν δὲ τοῦ Λόγου ὁ ἄνθρωπος· ἀληθινὸς νοῦς ὁ ἐν ἀνθρώπῳ, ὁ κατ' εἰκόνα τοῦ Θεοῦ καὶ καθ' ὁμοίωσιν διὰ τοῦτο γεγενῆσθαι λεγόμενος“ (Προτρ. X. § 98). Τούτων οὕτων ἐχόντων, οὐκ οἶδα ὅτου ἕνεκεν γράφει Merk „Diese Lehre ist biblisch, doch nur formell; denn dasjenige, worin diese Ebenbildlichkeit besteht, hat Clemens von der Philosophie, besonders von der Stoa, auch von Philon als das göttliche im Menschen ansehen gelernt“ (Merk S. 63). εἰ δὲ χρῆται Κλήμης λέξεσι καὶ φράσεσι παρὰ Πλάτωνι Στωϊκοῖς καὶ Φίλωνι ἀπαντώσαις, οἷον κατὰ νοῦν καὶ λογισμόν, νοῦς, λογισμός, φρόνησις, ζῷον λογικόν, οὐχ ἕπεται ὅτι ἀποτάσσεται τῷ Χρι-

ἀνάγκην· εἰκότως ἄρα τούτοις προσπολεμῶν Κλήμης, παρρησίᾳ διδάσκει ὅτι ὁ Θεὸς οὐδένα βιάζεται τὴν σωτηρίαν λαβεῖν, ἀλλὰ μόνον τοὺς ἐθέλοντας πείθει καὶ ἑνὶ ἑκάστῳ δέδοται διὰ τοῦ ἑλέσθαι λαβέσθαι τῆς ἐλπίδος [1]· „αἰτία ἑλομένου, Θεὸς ἀναίτιος“ [2]· εἰ γὰρ ἡ πίστις φύσεως ἔργον ἀλλὰ μὴ προαιρέσεως κατόρθωμα εἴη, οὔτ' ἂν ὁ πιστεύσας δικαίως ἀμοιβῆς τύχοι, οὔθ' ὁ ἀπιστήσας κατακρίσεως, „πᾶσα ἡ τῆς πίστεως καὶ ἀπιστίας ἰδιότης καὶ διαφορότης οὔτ' ἐπαίνῳ οὔτε μὴν ψόγῳ ὑποπέσοι ἂν ὀρθῶς λογιζομένοις προηγουμένην ἔχουσα τὴν ἐκ τοῦ τὰ πάντα δινατοῦ φυσικὴν ἀνάγκην γενομένην, νευροσπαστουμένων δὲ ἡμῶν ἀψύχων δίκην φυσικαῖς ἐνεργείαις . . . οὐκέτι ἔγωγε ἐννοῶ ζῶον τοῦτο, οὗ τὸ ὁρμητικὸν ἀνάγκη λέλογχεν, ὑπὸ τῆς ἔξωθεν αἰτίας κινούμενον“· οὐδεὶς δ' ἂν ἔτι γένοιτο λόγος περὶ μετανοίας καὶ σωτηρίας [3]. Καθ' ὅλου δ' εἰπεῖν, οὔτε οἱ ἔπαινοι οὔτε οἱ ψόγοι οὔθ' αἱ τιμαὶ οὐδ' αἱ κολάσεις δίκαιαι, τῆς ψυχῆς μὴ ἐχούσης τὴν ἐξουσίαν τῆς ὁρμῆς καὶ αἱρέσεως, ἀλλ' ἀκουσίου τῆς κακίας οὔσης· αἱρομένης ἄρα τῆς ἐλευθερίας, ἀνατρέπεται αὐτὴ ἡ βάσις τῶν θείων πραγμάτων καὶ αὐτὸ τὸ θεμέλιον τῆς δικαιοσύνης καὶ εὐημερίας τῆς κοινωνίας [4].

§ 2. Ἐπὶ τῷ ἀνθρώπῳ μέν ἐστιν ἡ αἵρεσις ὡς ἐλευθέρῳ, ἐπὶ τῷ Θεῷ δὲ ἡ δόσις ὡς κυρίῳ· ἡμεῖς τοίνυν ἐπαναπαυόμεθα τῇ πίστει, ὅτι εἱλόμεθα τὴν ζωὴν καὶ τῷ Λόγῳ τοῦ Θεοῦ πεπιστεύκαμεν, τῇ αὐτοκρατορικῇ αἱρέσει πρὸς τοῦτο χρησάμενοι [5]. Καὶ ὁ Θεός ἐστιν ἐλεύθερος,

---

στανισμῷ· πλειστάκις γὰρ περὶ τοῦ αὐτοῦ ἀντικειμένου ἐκφράσεσι χρῆται Γραφικαῖς. —

1) Στρωμ. II, III. § 10. — VII, II. § 6. — 2) Παιδ. I, VIII. § 69. — Στρωμ. IV. XXIII. § 152. πρβλ. Πλάτ. Πολιτει. X. 617 E ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. αἰτία ἑλομένου· Θεὸς ἀναίτιος. — Νόμ. X. 904 B. — 3) Στρωμ. II, III. § 11. — 4) Στρωμ. I, XVII. § 83. — 5) Στρωμ. II, IV. § 12. —

καὶ τὸ μὲν κακὸν παραχωρεῖ γενέσθαι, οὐδὲν γὰρ ἄνευ τοῦ θελήματος τοῦ κυρίου τῶν πάντων· τὸ δ' ἀγαθὸν ἑκουσίως ποιεῖ, οὐ γάρ ἐστιν ἄκων ἀγαθός, ὃν τρόπον τὸ πῦρ θερμαντικὸν· ἀλλὰ πάλιν οὐκ ἀνάγκῃ ἀγαθοποιεῖ, ἀλλὰ κατὰ προαίρεσιν εὖ ποιεῖ[1]). Ἑρμηνεύων ὁ Κλήμης τὸ „εἰ θέλεις τέλειος γενέσθαι", λέγει „καὶ θείως τὸ εἰ θέλεις, τὸ αὐτεξούσιον τῆς προσδιαλεγομένης αὐτῷ ψυχῆς ἐδήλωσεν· ἐπὶ τῷ ἀνθρώπῳ γὰρ ἦν ἡ αἵρεσις ὡς ἐλευθέρῳ, ἐπὶ τῷ Θεῷ δὲ ἡ δόσις ὡς Κυρίῳ· δίδωσι δὲ βουλομένοις . . . οὐ γὰρ ἀναγκάζει ὁ Θεός· βία γὰρ ἐχθρὸν τῷ Θεῷ, ἀλλὰ τοῖς ζητοῦσι πορίζει καὶ τοῖς αἰτοῦσι παρέχει καὶ τοῖς κρούουσιν ἀνοίγει" [2]).

§ 3. Πρόκειται ἄρα ἡμῖν κατὰ τὸν Ἀλεξανδρέα κατηχητὴν τὸ μὲν ἐλευθερία ἀνθρώπου, τὸ δὲ ἀγαθότης καὶ χάρις Θεοῦ· καὶ προηγεῖται μὲν ἡ χάρις, ἐνεργοῦσα ἐν ἡμῖν τὴν μετάνοιαν καὶ κλίνουσα τὴν καρδίαν ἡμῶν εἰς πίστιν, ἕπεται δ' ἡ οὕτω φωτισθεῖσα καὶ ἀνακαινισθεῖσα τοῦ ἀνθρώπου θέλησις, κατανεύουσα, ἀποδεχομένη καὶ πειθομένη· „φημὶ τοίνυν τὴν πίστιν . . . θεῖόν τι εἶναι·[3]) δωρεὰ γὰρ ἡ διδασκαλία τῆς θεοσεβείας· χάρις δὲ ἡ πίστις" [4]). Ἡ θεία δὲ χάρις ἡ τὴν πίστιν ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου ἐξεγείρουσα, αὕτη παρίσταται καὶ ἐν τῷ βαπτίσματι ἀπολούουσα τὰ πλημμελήματα, διασκεδαννῦσα τὸ σκότος, εἰσάγουσα τὸ φῶς, υἱοποιοῦσα, τελειοῦσα, ἀπα-

1) Στρωμ. VII, VII. § 42. — 2) Τίς ὁ σωζόμ. πλούς. § 10. Ματθ. 7, 7. 8. — 3) Στρωμ. II, VII. § 30. — 4) Στρωμ. I, VII. § 38. Οὕτως ἐνόησε καὶ ἐξηγήσατο τὰς προμνημονευθείσας ῥήσεις τοῦ Κλήμεντος καὶ ὁ Cognat „La foi n'est pas seulement divine parce qu'elle a pour principe la parole de Dieu, et pour fondement sa veracité; elle est divine aussi par son origine psychologique dans l'âme humaine. C'est Dieu lui même qui, par sa grâce, incline l'homme à croire à sa parole. Sous ce rapport, la foi est une sorte de faculté surnaturelle, une vertu infuse" (Clément d'Alexandrie, sa doctrine et sa polémique, pag. 199). —

θανατίζουσα, ἐπεισρέοντος ἄνωθεν τοῦ ἁγίου Πνεύματος[1]). Οὐ μὴν δ' ἀλλὰ καὶ μετὰ τὴν πίστιν ἐν τῷ σταδίῳ τῆς προόδου τοῦ Χριστιανοῦ ἔν τε τῇ βαθυτέρᾳ κατανοήσει τῆς χριστιανικῆς ἀληθείας καὶ τῷ ἁγιασμῷ αὐτοῦ ἡ θεία χάρις ἐστὶν ἡ ἐνεργοῦσα, ταύτης πάντοτε χρήζομεν καὶ ἄνευ αὐτῆς μάτην κοπιῶμεν καὶ οὐδὲν ἀνύομεν, μόνον δ' ἐξαιρέτου χάριτος τυχοῦσα ψυχή, πτεροῦται καὶ ἀνίσταται, πᾶν τὸ βρῖθον ἀποτιθεμένη[2]).

§ 4. Τὴν οὕτω χάριτι θείᾳ καὶ ἑκουσίῳ συγκαταθέσει ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου φυτευθεῖσαν πίστιν οὐ δεῖ ἀργὴν καὶ ἄκαρπον μένειν, ἀλλ' ἀεὶ ἐπὶ τὰ πρόσω χωρεῖν, ἀναπτυσσομένην καὶ τελειουμένην[3]). Ἡ πίστις, δύναμις οὖσα τοῦ Θεοῦ, ἐστὶ τὸ μὲν πηγὴ θείας ἀληθείας, τὸ δ' ἕδρασμα τῆς ἀγάπης καὶ μήτηρ παντὸς τοῦ ἠθικοῦ βίου[4]). Ἡ τελείωσις αὕτη τῆς πίστεως θεωρητικῶς καὶ πρακτικῶς καλεῖται παρὰ τῷ Κλήμεντι γνῶσις· τὴν δὲ πρόοδον καὶ τελείωσιν ἐν τῇ πίστει, ἤτοι τὴν γνῶσιν, ὑπὸ τῆς Γραφῆς ἐπιταττο-

---

1) „Βαπτιζόμενοι φωτιζόμεθα, φωτιζόμενοι υἱοποιούμεθα, υἱοποιούμενοι τελειούμεθα, τελειούμενοι ἀπαθανατιζόμεθα . . . καλεῖται δὲ πολλαχῶς τὸ ἔργον τοῦτο, χάρισμα καὶ φώτισμα καὶ τέλειον καὶ λουτρόν· λουτρὸν μὲν δι' οὗ τὰς ἁμαρτίας ἀπορρυπτόμεθα, χάρισμα δὲ ᾧ τὰ ἐπὶ τοῖς ἁμαρτήμασι ἐπιτίμια ἀνεῖται, φώτισμα δὲ δι' οὗ τὸ ἅγιον ἐκεῖνο φῶς τὸ σωτήριον ἐποπτεύεται, τοῦτ' ἔστι δι' οὗ τὸ θεῖον ὀξυωποῦμεν, τέλειον δὲ τὸ ἀπροσδεές φαμεν“ Παιδ. I, VI. § 26, 27, 28. — 2) Λείπεται δὴ θείᾳ χάριτι καὶ μόνῳ τῷ παρ' αὐτοῦ λόγῳ τὸ ἄγνωστον νοεῖν. Στρωμ. V, XII. § 83. Χάριτι σωζόμεθα . . . μάλιστα τῆς θείας χρήζομεν χάριτος . . . . καὶ τῆς τοῦ πατρὸς πρὸς αὐτὸν ὁλκῆς. V, I § 7. Ὁ ἐγκρατὴς ὀφείλει εὐχαριστεῖν ἐπὶ τῇ δοθείσῃ χάριτι. III, XVII. § 105. Τῷ παντοκράτορι καὶ τῷ Κυρίῳ θαρροῦντες, ἀντιπολιτευόμεθα ταῖς ἀρχαῖς τοῦ σκότους καὶ τῷ θανάτῳ. IV, VII. § 48. πρβλ. Στρμ. III, VII. § 57. — IV, XVII. § 112. — V, XIII. § 84. — Τίς ὁ σωζόμ πλούσ. § 21. Cognat p. 366. — 3) Στρωμ. V, I. § 11. — 4) Στρωμ. II, V. § 23. — II, VI. § 30, 31. — II, XI. § 48. — „Ἡ συνέχουσα τὴν Ἐκκλησίαν ἀρετὴ ἡ πίστις ἐστί, δι' ἧς σώζονται οἱ ἐκλεπτοὶ τοῦ Θεοῦ, ἡ δ' ἀνδριζομένη ἐγκράτεια· ἕπεται δ' αὐταῖς ἁπλότης, ἐπιστήμη, ἀκακία, σεμνότης, ἀγάπη· πᾶσαι δὲ αὗται πίστεώς εἰσι θυγατέρες“. Στρωμ. II, XII § 55.

μένην εὑρίσκει Κλήμης· καὶ γὰρ οἱ ἀπόστολοι Παῦλος καὶ Πέτρος προτρέπουσι τοὺς πιστοὺς περισσεύειν καὶ αὐξάνεσθαι ἐν πίστει καὶ γνώσει[1]. „φαίνεται ὁ ἀπόστολος διττὴν καταγγέλλων πίστιν, μᾶλλον δὲ μίαν, αὔξησιν καὶ τελείωσιν ἐπιδεχομένην. ἡ μὲν γὰρ κοινὴ πίστις καθάπερ θεμέλιος ὑπόκειται . . . ἡ δ' ἐξαιρέτως ἐποικοδομουμένη συντελειοῦται τῷ πιστῷ καὶ συναπαρτίζεται“[2]. Ἐν τῇ προόδῳ ταύτῃ τρεῖς διακρίνει βαθμούς, οὓς ἀναβῆναι τὸν γνωστικὸν δεῖ, ἵνα τῆς τελειότητος ἐφίκηται· ὁ μὲν πρῶτός ἐστιν ἡ μετὰ φόβου διδασκαλία, δι' ἣν ἀπεχόμεθα τῆς ἀδικίας, ὁ δὲ δεύτερος ἡ ἐλπίς, δι' ἣν ἐφιέμεθα τῶν βελτίστων, καὶ τρίτος ὃς καὶ τελειοῖ, ἡ ἀγάπη. „Πρόκειται, λέγει, τοῖς εἰς τελείωσιν σπεύδουσιν ἡ γνῶσις ἡ λογική, ἧς θεμέλιον ἡ ἁγία τρίας, πίστις, ἐλπίς, ἀγάπη, μείζων δὲ τούτων ἡ ἀγάπη“[3]. Τῶν τριῶν τούτων ὅπλων ἀντεχόμενος ὁ Χριστιανός, χωρεῖ κατὰ μικρὸν ἐπὶ τὴν τελειότητα, μέχρις οὗ καταντήσῃ εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ[4].

Γ'. Περὶ καθήκοντος καὶ ἀρετῆς.

§ 1. Ὁ γνωστικὸς ἐνεργεῖ καὶ πολιτεύεται κατὰ λόγον, ἀκόλουθα τῷ λόγῳ, πρὸς τὸν ὀρθὸν λόγον ἢ εὐλόγως[5]· τοῖς αὐτοῖς ὅροις ἐχρῶντο, ὡς γνωστόν, καὶ οἱ τῶν Στωϊκῶν παῖδες[6]· πλὴν ἑτέρως μὲν ἐξεδέχοντο αὐτοὺς οἱ τὰ τῶν Στωϊκῶν φρονοῦντες, ἑτέραν δ' αὐτοῖς προσῆψε χριστιανικὴν σημασίαν ὁ τῶν Ἀλεξανδρέων πολυμαθὴς κατηχητής· παρ' ἐκείνοις μὲν γὰρ λόγος ἐστὶν αὐτὴ ἡ φύσις,

1) *β'. Κορινθ.* 8, 7. — *β'. Πέτρ.* 3, 18. *καὶ ἀλλαχοῦ.* — 2) *Στρωμ.* V. 1. § 2. — 3) *Στρωμ.* IV, VII. § 54, 55. — 4) *Ἐφεσ.* 4, 13. — 5) *Παιδ.* I, XIII. § 101. *Στρωμ.* II, II. § 4. — II, XXII. § 134. — 6) *Στοβ. Ἐκλογ.* II. 120. — Cicer. Tuscul. VI, 7. 96. IV. 6. *Διογ. Λαερτ.* VII. 130. —

αὐτὴ ἡ ψυχὴ τοῦ κόσμου, ἧς μοῖρα ὁ ἐν ἡμῖν λόγος, ἢ μᾶλλον εἰπεῖν ὁ μὴ ἔχων συνείδησιν ἑαυτοῦ Θεός, ἡ τυφλὴ καὶ ἄλογος δύναμις, ἡ ἐν πᾶσι καὶ διὰ πάντων ἰοῦσα [1]), παρὰ δὲ τῷ Κλήμεντι δηλοῖ τὸν θεῖον Λόγον, τὸν θεῖον Παιδαγωγόν, ἢ τὸν ἐν ἀνθρώπῳ λόγον, πεφωτισμένον καὶ κεκαθαρμένον ὑπὸ τοῦ Θεοῦ Λόγου, οὗ εἰκὼν τυγχάνει καὶ πρὸς οὗ τὴν ὁμοίωσιν σπεύδει. „Τὸ πείθεσθαι τῷ Λόγῳ, ὃν διδάσκαλον ἀνηγορεύσαμεν, αὐτῷ ἐκείνῳ πιστεῦσαί ἐστι, κατ᾽ οὐδὲν ἀντιβαίνοντα· πῶς γὰρ οἷόν τε ἀντεπίστασθαι τῷ Θεῷ“ [2]). Τοιαύτην οὖν σημασίαν ἔχοντος τοῦ λόγου, πᾶν τὸ παρ᾽ αὐτὸν γιγνόμενόν ἐστιν ἄλογος ἐπιθυμία ἢ ὄρεξις, πάθος, καὶ ὁ Χριστιανὸς ὁ τοῖς πάθεσι χαριζόμενος ἀθετεῖ τὴν φωνὴν τοῦ λόγου, ἀπειθεῖ τῷ Λόγῳ. Ἐντεῦθεν ὁρίζεται Κλήμης τὸ πάθος πλεονάζουσαν ὁρμὴν ἢ ὑπερτείνουσαν τὰ κατὰ τὸν λόγον μέτρα ἢ ὁρμὴν ἐκφερομένην καὶ ἀπειθῆ λόγῳ· πάντα δὲ τὰ πάθη χαρακτηρίζει γενικῶς ὡς κίνησιν ψυχῆς κατὰ τὴν πρὸς τὸν λόγον ἀπείθειαν, ὡς ἀλόγους ὀρέξεις [3]). Ὁ Χριστιανὸς ὀφείλει πείθεσθαι τῷ λόγῳ καὶ ζῆν, ὡς ὑφηγεῖται ἡ ἀλήθεια, ἢ ὀρθὸς λόγος ἐστί, πᾶν δὲ τὸ παρὰ τὸν ὀρθὸν λόγον τοῦτο ἁμάρτημά ἐστι. Τὸν ὁρισμὸν τῶν γενικωτάτων παθῶν παρατίθεται ἁπλῶς, λέγων ἐπὶ λέξεως „αὐτίκα γοῦν τὰ πάθη τὰ γενικώτατα ὧδέ πως ὁρίζεσθαι ἀξιοῦσιν οἱ φιλόσοφοι, τὴν μὲν ἐπιθυμίαν ὄρεξιν ἀπειθῆ λόγῳ, τὸν δὲ φόβον ἔκλυσιν ἀπειθῆ λόγῳ, ἡδονὴν δ᾽ ἔπαρ-

1) Διογ. Λαερτ. VII. 86. 143. Cornutus de Nat. Deor. 2. Senec. Epist. 31. 73. 92. πρβλ. E. Zeller die Phil. d. Gr. III, I. S. 72, 73. Cognat p. 349—351. — 2) Στρωμ. II, IV. § 16. πρβλ. „Ἔστιν ὁ παιδαγωγὸς ἡμῶν Λόγος διὰ παραινέσεων θεραπευτικὸς τῶν παρὰ φύσιν παθῶν . . . Λόγος δὲ ὁ πατρικὸς μόνος ἐστὶν ἀνθρωπίνων ἰατρὸς ἀρρωστημάτων παιώνιος καὶ ἐπῳδὸς ἅγιος νοσούσης ψυχῆς . . . . ὁ ἀγαθὸς παιδαγωγός, ἡ σοφία, ὁ Λόγος τοῦ πατρός“. Παιδ. I. II. § 6. — 3) Στρωμ. II, XIII. § 59. πρβλ. Στοβ. Ἐκλογ. IV. p. 175, 176. —

σιν ψυχῆς ἀπειθῆ λόγῳ"[1]). Εἰ δὲ πᾶσα ἀπείθεια τῷ λόγῳ ἁμαρτίας ἐστὶ γεννητική, ἐξ ἀνάγκης ἕπεται ὅτι πᾶσα εὐπείθεια τῷ λόγῳ καὶ ὑπακοὴ τοῦ Λόγου, καθήκοντος περιποιητικὴ καὶ δὴ ἀρετή. Ἐντεῦθεν ὁ Κλήμης ὁρίζεται τὴν ἀρετὴν οὕτως „ἡ ἀρετὴ αὐτὴ διάθεσίς ἐστι ψυχῆς σύμφωνος ὑπὸ τοῦ λόγου περὶ ὅλον τὸν βίον", ἑπόμενος, ὡς φαίνεται, τῇ Στωᾷ[2]). Ἐπειδὴ δὲ Κλήμης ἔδοξέ τισιν[3]) ἐν τῷ περὶ ἀρετῆς λόγῳ στωϊκίζειν, τούτου ἕνεκεν ἀναγκαῖον ἡγούμεθα τοῦ δικαίου καὶ ἀμεροληψίας χάριν προτάξαι μὲν τὰς πρὸς τὴν Στωὰν φαινομένας τῆς διδασκαλίας αὐτοῦ ὁμοιότητας, ἐπαγαγεῖν δὲ τὰς οὐσιώδεις διαφοράς.

§ 2. Ὁμολογουμένως πολὺν ποιεῖται ὁ Κλήμης λόγον περὶ γνώσεως, καί τινες αὐτοῦ ἐκφράσεις καὶ ἔννοιαι ἐν τῷ ζητήματι τούτῳ μεγίστην ἔχουσι τὴν ὁμοιότητα τῇ διδασκαλίᾳ τῆς Στωᾶς. Τὰς βαθμίδας τῆς ἐναρέτου πράξεως περιγράφων, συλλογίζεται οὕτω, δυνάμεις τῆς ψυχῆς εἰσιν ἡ γνῶσις καὶ ἡ ὁρμή· ἡ ὁρμὴ ἕπεται τῇ γνώσει, φύσει γὰρ τὸ μαθεῖν πρεσβύτερον τοῦ πρᾶξαι καὶ ὁ πράττων μανθάνει πρότερον, ὃ βούλεται πρᾶξαι· ἐπεὶ ἄρα ἐκ μὲν τοῦ γνῶναι τὸ ὁρμῆσαι μετά τινα συγκατάθεσιν, ἐκ δὲ τοῦ ὁρμῆσαι τὸ πρᾶξαι, ἕπεται ὅτι πάντων μὲν προηγεῖται ἡ γνῶσις, οὐδεμία δ' ἀρετὴ ἄνευ γνώσεως ὀρθῆς „ἀρχὴ καὶ δημιουργὸς πάσης πράξεως λογικῆς ἡ γνῶσις ἂν εἴη"[4]).

1) Παιδ. I, XIII. § 101. — πρβλ. Διογ. Λαερτ. VII. 110. 111. Cicer. Tuscul. IV. 5. Στοβ. Ἐκλογ. IV. p. 175, 176. — 2) Παιδ. I XIII. § 101. — Διογ. Λαερτ. VII. 89. Στοβ. ἠθικ. ἐκλογ. II. p 132, 167. Senec. Epist. 89, 14. — 3) πρβλ. Reuter p. 19—30. Merk p. 71–74. — 4) Στρωμ. VI, VIII. § 69. οὕτω καὶ ἡ Στωά· πρβλ. Die Wurzel und Bedingung alles vernunftmässigen Handelns ist nach der Ansicht der Stoiker, welche sich hierin an die bekannten Sokratischen Sätze und an die cynisch-megarische Lehre anschliessen, die richtige Erkenntniss: eine natürliche und durch blosse Uebung erworbene Tugend wird von ihnen ausdrücklich geläugnet. Zeller III, I. p. 136.

Ἐντεῦθεν στενοτάτη ἡ σχέσις γνώσεως καὶ ἀρετῆς, ἀγνοίας καὶ κακίας· ὁ μὲν ἐν ἀγνοίᾳ ὢν ὑπόκειται τοῖς πάθεσι καὶ ὑλόφρων γίγνεται, γῆ καὶ σποδός, ὁ δὲ τῆς γνώσεως ἀπολελαυκὼς ἐστι πνευματικὸς καὶ ἐκλεκτός, ὁμοιούμενος τῷ Θεῷ κατὰ τὸ δυνατόν[1])· τὸ ἁμαρτάνειν ἤτοι ἐκ τοῦ ἀγνοεῖν ἢ ἐκ τοῦ ἀδυνατεῖν γίγνεται, ἀμφότερα δ' ἐφ' ἡμῖν, μήτε γνῶναι μήτε παθῶν κρατεῖν ἐθέλουσιν[2]). Ἔστιν ὅτε δὲ ταὐτίζει γνῶσιν καὶ ἀρετήν, ὁριζόμενος αὐτὴν ὡς ἕξιν ἢ διάθεσιν καὶ τελείωσιν ἀνθρώπου ὡς ἀνθρώπου[3]). Ἵνα δ' ἡ πρᾶξις σύμφωνος τῷ λόγῳ καὶ ὄντως ἐνάρετος ᾖ, οὐκ ἀρκεῖ μόνον αὐτὴν καθ' ἑαυτὴν ἀγαθὴν εἶναι, ἀλλ' ἀνάγκη μετὰ λόγου τοῦ προσήκοντος καὶ διαθέσεως ἀγαθῆς καὶ σκοποῦ θεαρέστου γενέσθαι· οὕτω δ' ἐνεργεῖ μόνον ὁ τὴν γνῶσιν κεκτημένος· ἡ γὰρ γνῶσις ὑποδείκνυσιν αὐτῷ τό τε ἀγαθὸν καὶ τὸν λόγον τῆς τούτου ἐπιτελέσεως. „οὐ γὰρ τὸ ἁπλῶς εὖ πράττειν, ἀλλὰ τὸ πρός τινα σκοπὸν τὰς πράξεις ποιεῖσθαι καὶ λόγον ἐνεργεῖν καθῆκεν, αἱ Γραφαὶ παριστᾶσιν"[4])· ἡ δ' ἀγαθὴ προαίρεσις ἴσα δύναται τῇ πράξει· ἐνίοτε γὰρ βουλόμεθα τὸ ἀγαθὸν ποιῆσαι, καὶ οὐχ οἷοί τέ ἐσμεν ἐξυπηρετῆσαι τῇ προαιρέσει καὶ εἰς τέλος ἀγαγεῖν, ὃ βεβουλήμεθα· ἐντεῦθεν „τῆς αὐτῆς τιμῆς μεθέξουσι τοῖς δυνηθεῖσιν οἱ βεβουλημένοι, ὧν ἡ προαίρεσις ἴση[5])". Τρία ἄρα ἐστὶ τὰ τὴν ἀγαθὴν πρᾶξιν ἀποτελοῦντα, γνῶσις τοῦ ἀγαθοῦ, ἐλευθέρα τούτου ἐκλογὴ καὶ λόγος ἢ

1) *Στρωμ.* IV, XXVI. § 170. — 2) *Στρωμ.* II, XV. § 62—64. — VII, XVI. § 101. — 3) *Στρωμ.* IV, XXII § 140. — „*Ἔστι γὰρ ὡς ἔπος εἰπεῖν ἡ γνῶσις τελείωσίς τις ἀνθρώπῳ, ὡς ἀνθρώπου, διὰ τῆς τῶν θείων ἐπιστήμης συμπληρουμένη, κατά τε τὸν τρόπον καὶ τὸν βίον καὶ τὸν λόγον σύμφωνος καὶ ὁμόλογος ἑαυτῇ τε καὶ τῷ θείῳ λόγῳ· διὰ ταύτης γὰρ τελειοῦται ἡ πίστις ὡς τελείου τοῦ πιστοῦ ταύτῃ μόνως γιγνομένου*". *Στρωμ.* VII, X § 55. *πρβλ.* Zeller III, I. S. 136. Die Tugend ist ausschliesslich Sache der Vernunft, ja sie selbst ist gar nichts Anderes, als die richtig beschaffene Vernunft. — 4) *Στρωμ.* VI, XIV. § 111. — 5) *Στρωμ.* IV, VI. § 38.

προαίρεσις τοῦ ἐνεργοῦντος· ὅσῳ δ' οἱ ὅροι οὗτοι τοῦ ἀγαθοῦ τελειοῦνται, τοσούτῳ λογικωτέρα καὶ τελειοτέρα καθίσταται ἡ πρᾶξις· ἡ ἀγάπη δὲ τοῦ ἀγαθοῦ καὶ ἡ ἀγαθὴ προαίρεσις ἕπονται, ὡς εἰκός, τῇ γνώσει καὶ ἐξ αὐτῆς ἐξαρτῶνται· ἐντεῦθεν ἡ παρὰ τῷ Κλήμεντι μεγίστη τῆς γνώσεως σπουδαιότης· ἡ γὰρ ἀρετή, διάθεσις οὖσα ψυχῆς σύμφωνος τῷ λόγῳ περὶ ὅλον τὸν βίον κατά τε τὸν Ζήνωνα καὶ τὸν Κλήμεντα, προσγίγνεται ἡμῖν μόνῃ τῇ γνώσει, ἣ ταὐτίζεται τῇ ἀρετῇ καὶ θεοσεβείᾳ, „πρόκειται παραστῆσαι ἡμῖν μόνον τὸν γνωστικὸν ὅσιόν τε καὶ εὐσεβῆ, θεοπρεπῶς τὸν τῷ ὄντι Θεὸν θρησκεύοντα“ 1).

§ 3. Γνωστὸν τυγχάνει, ὅτι ἡ Στωὰ ὡς μόνον ἀγαθὸν παρεδέχετο τὴν ἀρετήν, ἀσυνεπῶς δ' ἑαυτῇ φερομένη, οὐ πᾶν τὸ ἐκτὸς τῆς ἀρετῆς κακίαν ᾤετο εἶναι, ἀλλὰ μεταξὺ ἀρετῆς καὶ κακίας ἐτίθει ὡς μέσα τὰ λεγόμενα ἀδιάφορα 2), εἰς δύο διῃρημένα τάξεις, ὧν τὰ μὲν ἐκάλει προηγμένα, προτιμητέα τῶν ἄλλων καὶ ἐπιζητητέα, ὡς ἔχοντά τινα ἀξίαν, τὰ δὲ ἀποπροηγμένα, ἀπορριπτέα καὶ φευκτέα, ὡς μηδεμίαν ἔχοντα ἀξίαν· παρεδέξαντο δ' εἶτα καὶ βαθμοὺς ἀρετῆς καὶ στάδια ἠθικῆς ἐνεργείας, τοὺς ἐν τῇ ἠθικῇ

1) Στρωμ. VII, I. § 2. πρβλ. Reuter p. 20 σημ. 2. — Cognat p. 273. — 2) „Τῶν δ' ὄντων φασὶ τὰ μὲν ἀγαθὰ εἶναι, τὰ δὲ κακά, τὰ δ' οὐδέτερα . . . οὐδέτερα δὲ ὅσα μήτ' ὠφελεῖ μήτε βλάπτει, οἷον ζωή ὑγίεια ἡδονὴ κάλλος ἰσχὺς πλοῦτος εὐδοξία εὐγένεια καὶ τὰ τούτοις ἐναντία, θάνατος νόσος πόνος αἶσχος ἀσθένεια πενία ἀδοξία δυσγένεια καὶ τὰ τούτοις παραπλήσια. — μὴ γὰρ εἶναι ταῦτ' ἀγαθά, ἀλλ' ἀδιάφορα.“ (Διογ. Λαερτ. VII. 101 102.). „Τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα, τὰ δὲ ἀποπροηγμένα. Προηγμένα μὲν τὰ ἔχοντα ἀξίαν τινά· αποπροηγμένα δὲ τὰ ἀναξίαν ἔχοντα· ἀξίαν δὲ τὴν μέν τινα λέγουσι σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ περὶ πᾶν ἀγαθόν· τὴν δὲ εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν συμβαλλομένην πρὸς τὸν κατὰ φύσιν βίον, ὅμοιον εἰπεῖν, ἥντινα πρὸς τὸν κατὰ φύσιν βίον πλοῦτος ἢ ὑγίεια· τὴν δὲ εἶναι ἀξίαν ἀμοιβὴν δοκιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ.“ Διογ. Λαερτ. VII, LXI 105, 106. πρβλ. Στοβ. ἐκλογ. II. 142, 144. Zeller III, 1. S. 150. 151. Heinze I. S. 242. Ritter et Preller Hist. ph. graecae p. 426, 427.

σταδιοδρομοῦντας ἀποκαλοῦντες προκόπτοντας [1]). Τὰς τάξεις ταύτας καὶ διακρίσεις παρεδέξατο, ὡς φαίνεται, καὶ Κλήμης, χρησάμενος αὐτοῖς τοῖς ὅροις τῆς Στωᾶς· ἐν γὰρ τῷ τετάρτῳ βιβλίῳ τῶν Στρωματέων ἀνασκευάζων τοὺς τὸ σῶμα κακίζοντας Γνωστικούς, καὶ διδάσκων ὅτι οὐ τὸ σῶμα καθ' ἑαυτὸ κακόν, τὸ οἰκητήριον τῆς τιμιωτάτης τῷ Θεῷ ψυχῆς, ἀλλὰ τὸ κατὰ σάρκα περιπατεῖν καὶ σαρκικὸν εἶναι, ὡς ὁ ἀπόστολός φησιν [2]), ἐπάγει „κρεῖττον μὲν τοῦ ἀνθρώπου ὡμολόγηται ἡ ψυχή, ἧττον δὲ τὸ σῶμα, ἀλλ' οὔτε ἀγαθὸν ἡ ψυχὴ φύσει οὔτε αὖ κακὸν φύσει τὸ σῶμα, οὐ δὲ μὴν ὃ μή ἐστιν ἀγαθὸν τοῦτο εὐθέως κακόν· εἰσὶ γὰρ οὖν καὶ μεσότητές τινες καὶ προηγμένα καὶ ἀποπροηγμένα ἐν τοῖς μέσοις· ἐχρῆν δὴ οὖν τὴν σύνθεσιν τοῦ ἀνθρώπου ἐν αἰσθητοῖς γενομένην ἐκ διαφόρων συνεστάναι, ἀλλ' οὐκ ἐξ ἐναντίων, σώματός τε καὶ ψυχῆς“ [3]).

§ 4. Ὡσαύτως δῆλόν ἐστιν ὅτι οἱ περὶ τὴν Στωὰν τὰς ἐνεργείας εἰς ἀγαθάς, κακὰς καὶ μέσας διακρίνειν εἰώθεσαν, τὰς μὲν ἰδίας τοῦ παρ' αὐτοῖς σοφοῦ κατορθώματα, τὰς δὲ κοινὰς καθήκοντα ἢ μέσας πράξεις ἀποκαλοῦντες· καὶ κατόρθωμα μέν ἐστι παρ' αὐτοῖς ἀρετῆς ἐνέργημα, τέλεον ἐνάρετος καὶ ὀρθὴ πρᾶξις, μετὰ λόγου ἐν γνώσει τοῦ ἀγαθοῦ καὶ ἐξ ἠθικῆς πεποιθήσεως κατορθουμένη, οἱονεὶ ἔκφρασις τῆς ἐν μόνῳ τῷ σοφῷ ὑπαρχούσης ζώσης καὶ ἐνεργοῦ ἰδέας τοῦ ἀγαθοῦ, μέση δὲ πρᾶξις ἢ καθῆκόν ἐστι πρᾶξις σύμφωνος μὲν τῷ νόμῳ καὶ τὸ εἶδος τῆς ἀρετῆς φέρουσα, οὐχὶ ὅμως κατ' ἐπίστασιν τοῦ ἀγαθοῦ καὶ ἐξ ἐλευθέρας ἠθικῆς θελήσεως καὶ πεποιθήσεως τοῦ ἐνεργοῦντος γιγνομένη· τὸ μὲν κατόρθωμά ἐστι τελεία ἠθικότης, τὸ δὲ καθῆκον ἁπλῆ νομιμότης [4]). Ὁμοίαν τινὰ διάκρισιν

---

1) Heinze I. S. 243. — 2) β'. Κορινθ. 10, 2. α'. Κορινθ. 3, 3. — 3) Στρωμ. IV. XXXI § 165, 166. — 4) Ἔτι δὲ τῶν ἐνεργημάτων φασὶ τὰ μὲν εἶναι κατορθώματα τὰ δὲ ἁμαρτήματα τὰ δ' οὐδέτερα. Στοβ. ἐκλογ. 11, 192. Κατόρθωμά φασι νόμου πρόσταγμα εἶναι, τὸ

κατά γε τὸ φαινόμενον ποιεῖται καὶ Κλήμης, παραλαμβάνων καὶ αὖθις αὐτοὺς τοὺς ὅρους τῆς Στωᾶς· τρία γὰρ εἴδη πράξεων διακρίνει, πρῶτον τὸ κατόρθωμα, ἴδιον τῶν γνωστικῶν τῶν μετὰ λόγου καὶ κατ' ἐπίστασιν ἐνεργούντων, εἶτα τὴν μέσην πρᾶξιν ἢ τὸ καθῆκον, ἴδιον τοῦ ἁπλῶς πιστοῦ καὶ τρίτον τὸ ἁμάρτημα, πρᾶξιν τῶν Ἐθνικῶν. Οἱ μὲν Ἐθνικοὶ ἐν ἀπιστίᾳ ζῶντες οὐ δύνανται σωθῆναι, οἱ πιστοὶ ἁπλῆς τινος τυγχάνουσι σωτηρίας, διὰ φόβον ἐνεργοῦντες, οἱ δὲ γνωστικοὶ δι' ἀγάπην καὶ γνωστικῶς πάντα κατορθοῦντες, σώζονται τελείως καὶ ὡς δεῖ· „ὥσπερ οὖν τὸ μὲν ἁπλῶς σώζειν τῶν μέσων ἐστί, τὸ δὲ ὀρθῶς καὶ δεόντως κατόρθωμα, οὕτω καὶ πᾶσα πρᾶξις γνωστικοῦ μὲν κατόρθωμα, τοῦ δὲ ἁπλῶς πιστοῦ μέση πρᾶξις λέγοιτ' ἄν, μηδέπω κατὰ λόγον ἐπιτελουμένη μηδὲ μὴν κατ' ἐπίστασιν κατορθουμένη· παντὸς δ' ἔμπαλιν τοῦ Ἐθνικοῦ ἁμαρτητική" [1].

Τὰς πρὸς τὴν Στωὰν ἐν τῷ περὶ ἀρετῆς ζητήματι φαινομένας ὁμοιότητας τῆς τοῦ Κλήμεντος ἠθικῆς ἐκθέμενοι, φέρε ἴδωμεν ἤδη καὶ τὰς οὐσιώδεις αὐτῆς διαφοράς.

§ 5. *Ἡ ἀρετὴ τῆς Στωᾶς ἐστιν ὀρθότης, ὀρθὸς λόγος, τὴν πλήρη αὐτοῦ ὀρθότητα καὶ τελειότητα ἐν τῇ ἐπιστήμῃ ζητῶν καὶ δι' αὐτῆς ταύτην κτώμενος· ἡ δ' ἐπιστήμη αὕτη ἡ σοφία καθαρῶς φυσικὴ καὶ θεωρητικὴ*

δ' ἁμάρτημα νόμου ἀπαγόρευμα. Πλουτάρχ. Στωϊκ. ἐναντ. 11. *Ὁρίζεται δὲ τὸ καθῆκον τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ πραχθὲν εὔλογον ἀπολογίαν ἔχει . . . τῶν δὲ καθηκόντων τὰ μὲν εἶναί φασι τέλεια, ἃ δὴ καὶ κατορθώματα λέγεσθαι· κατορθώματα δ' εἶναι τὰ κατ' ἀρετὴν ἐνεργήματα, οἷον τὸ φρονεῖν τὸ δικαιοπραγεῖν· οὐκ εἶναι δὲ κατορθώματα τὰ μὴ οὕτως ἔχοντα . . ἀλλὰ μέσα . . . τὸ δὲ καθῆκον τελειωθὲν κατόρθωμα γίνεσθαι Στοβ. ἐκλογ.* II. 158. — Illud autem officium, quod rectum iidem appelant, perfectum atque absolutum est et, ut iidem dicunt, omnes numeros habet nec praeter sapientem cadere in quemquam potest. Cic. de offic. III, III. 14. — Zeller III, I. S. 139. —

1) *Στρωμ.* VI, XIII. § 111.

τυγχάνει, γνῶσις λογική, προϊὸν τοῦ ἐν τῷ ἀνθρώπῳ ὀρθοῦ λόγου, καρπὸς τῶν περὶ τὴν ἔρευναν τοῦ ἀληθοῦς καὶ ἀγαθοῦ ἐνασχολήσεων καὶ μόχθων τῆς διανοίας, μηδὲν ἔχουσα τὸ ὑπερφυσικὸν καὶ κυρίως πρακτικόν. Ἡ σοφία τῆς Στωᾶς ἐστιν αὐτὸς ὁ φυσικὸς λόγος, ἀντανακλωμένην, οὕτως εἰπεῖν, ἔχων γνῶσιν τοῦ ἀνθρώπου καὶ τῶν καθηκόντων αὐτοῦ, τῆς φύσεως καὶ τῶν νόμων αὐτῆς· ἀρετὴ παρ᾽ αὐτοῖς ἦν ἡ πλήρης τῇ λογικῇ καὶ θεωρητικῇ ταύτῃ γνώσει συμφωνία τῆς θελήσεως καὶ τῆς διαθέσεως, καὶ ἀγαθὴ πρᾶξις μόνη ἡ ὑπὸ τῆς σοφίας ἐμπνεομένη καὶ ὑπὸ ταύτης ῥυθμιζομένη. Ἐντεῦθεν εἵπετο λογικῶς τὸ ὑπὸ τῆς Στωᾶς πράγματι ἐξαχθὲν συμπέρασμα, ὅτι δῆλα δὴ ἡ ἀρετὴ προνόμιον τῆς σοφίας ἐστί· μόνος γὰρ ὁ σοφὸς ἢ φιλόσοφος ἠδύνατο ἐνάρετος καὶ τέλειος γενέσθαι [1]).

Ἡ παρὰ τῷ Κλήμεντι γνῶσις πάντη ἀλλοῖον ἔχει τὸν χαρακτῆρα· πρῶτον μὲν γὰρ ἡ γνῶσις αὐτοῦ οὐκ ἔστιν, ὡς ἡ τῆς Στωᾶς, φυσική, οὐ γὰρ δύναται ὁ ἐν τῷ ἀνθρώπῳ λόγος, ταῖς ἰδίαις χρώμενος δυνάμεσι καὶ τὰς παρὰ τοῖς φιλοσόφοις εὐχρήστους ἐφαρμόζων μεθόδους, τῆς γνώσεως ταύτης ἐφικέσθαι. Ἡ γνῶσις αὕτη, ὡς ἡ πίστις, ἧς ἐστι τελείωσις, δίδοται ὑπὸ τοῦ σαρκωθέντος Λόγου, ἐστὶν ἄνωθέν τις φωτισμός, θεία παιδεία, ἁγία σοφία, χάρις, θεία τις ἐπιστήμη [2]), οὐκ ἐκ τέχνης τινὸς οὐδ᾽ ἐκ παιδείας τῆς ἐγκυκλίου περιγιγνομένη, „ἀγαπητὸν γάρ, εἰ παρασκευάσαι μόνον τὴν ψυχὴν καὶ διακονῆσαι δύναιτο (ἡ παιδεία)“ [3]). Δεύτερον ἡ τοῦ Κλήμεντος γνῶσις οὐκ ἔστι ψιλὸς λόγος, ἀλλὰ λόγος πλήρης καὶ γόνιμος ἔργων ἀγαθῶν· τῆς γὰρ γνώσεως οὐδέποτε

1) Στοβ. ἐκλογ. II. 116. — 2) Παιδ. I, V. — Στρωμ. III, V. § 44. — Ἐκ τοῦ Θεοῦ γίνεται ἡ δόσις τῆς θεοδωρήτου γνώσεως. VIII. I. § 2. — Εἴρηται γὰρ „τῷ ἔχοντι προστεθήσεται“, τῇ μὲν πίστει ἡ γνῶσις, τῇ δὲ γνώσει ἡ ἀγάπη, τῇ ἀγάπῃ δὲ ἡ κληρονομία. Γίνεται δὲ τοῦτο, ὁπόταν τις κρεμασθῇ τοῦ Κυρίου διά τε πίστεως διά τε γνώσεως διά τε ἀγάπης καὶ συναναβῇ αὐτῷ ἔνθα ἐστὶν ὁ τῆς πίστεως ἡμῶν καὶ ἀγάπης Θεὸς καὶ φρουρός. Στρωμ. VII, X. § 55, 56 — 3) Στρωμ. VII, III, § 19.

χωρίζεται ἡ τῆς καρδίας ἁγνότης καὶ τοῦ βίου τὸ θεάρεστον· „ἡ γνῶσις ἐκ τοῦ καρποῦ καὶ τῆς πολιτείας, οὐκ ἐκ τοῦ λόγου καὶ τοῦ ἄνθους“ [1]). Ἔχει μὲν ἡ ἀρετὴ ῥίζαν καὶ πηγὴν τὴν γνῶσιν, ἀλλὰ καὶ ἡ γνῶσις οὐ χορηγεῖται τῷ καρδίαν δούλην τῶν παθῶν κεκτημένῳ· γνῶσις καὶ πολιτεία ἀχώριστα ἀλλήλων· „τοῦ μὲν ἀποτυγχάνοντος τοῦδε τοῦ τέλους ἡ τοῦ Θεοῦ ἄγνοια κατηγορεῖν ἔοικε, τὸ δὲ ἀγνοεῖν τὸν Θεὸν ἡ τοῦ βίου πολιτεία παρίστησιν“ [2]). Ἡ ἔννοια τῆς γνώσεως ἐμπεριέχει τὴν τῆς ἁγιότητος. C'est un état, où domine sans doute la connaissance, mais où se trouve aussi la charité et qui rend l'âme semblable au Verbe divin, à la fois vérité et amour [3]).

§ 6. Τοιαύτης οὖν οὔσης τῆς ἐννοίας τῆς παρὰ τῷ Κλήμεντι γνώσεως, ἀναγκαίως ἕπεται ὅτι οὐ ταὐτίζεται κατ᾽ οὐσίαν ὁ παρ᾽ αὐτῷ ὁρισμὸς τῆς ἀρετῆς τῷ παρὰ τοῖς Στωϊκοῖς, ὧν τῇ γλώττῃ ἐν τῷ ζητήματι τούτῳ ἐχρήσατο, οὕτω δ᾽ αἴρονται καὶ φαινόμεναί τινες ἀντιφάσεις, ἔν τισι τῶν συγγραμμάτων αὐτοῦ χωρίοις ἀπαντῶσαι· διδάσκει μὲν ὅτι ἡ τελεία ἀρετὴ ἡ αὐτή ἐστι και ἡ γνῶσις, καὶ ὅτι μόνος ὁ γνωστικὸς ἀληθῶς ἐστιν ἐνάρετος καὶ εὐσεβὴς καὶ ὅσιος, οὐ μὴν δ᾽ ἀλλὰ πλειστάκις τὴν γνῶσιν ταύτην δῶρον τοῦ σαρκωθέντος Λόγου κηρύττει, τῇ εὐσεβεῖ ζητήσει τῆς διανοίας, ἰδίᾳ δὲ καὶ μάλιστα τῇ καθαρότητι τῆς καρδίας δωρούμενον. Ἡ γνῶσις ἄρα τοῦ Κλήμεντος οὐκ ἔστιν, ὡς παρὰ τοῖς Στωϊκοῖς, προνόμιον τῶν ἐξόχων πνευμάτων, μόνον τῶν φιλοσόφων, τῶν εἰς ἄκρον σοφίας καὶ ἐπιστήμης ἐληλακότων, ἴδιον. Τριῶν οὐσῶν τῶν διαθέσεων τῆς ψυχῆς, ὥς φησι Κλήμης, ἀγνοίας, οἰήσεως, ἐπιστήμης, τὰ μὲν Ἔθνη ἐν τῇ ἀγνοίᾳ πλανᾶται, οἱ αἱρετικοὶ ἐν τῇ

1) Στρωμ. II, X. § 47. — III, V. § 44. Ἀπὸ τῶν καρπῶν τὸ δένδρον, οὐκ ἀπὸ τῶν ἀνθῶν καὶ πετάλων γνωρίζεται. Ἕπεται τὰ ἔργα τῇ γνώσει, ὡς τῷ σώματι ἡ σκιά. Στρωμ. VII, XIII. § 82. — 2) Θεοῦ γνῶσιν λαβεῖν τοῖς ἔτι ὑπὸ τῶν παθῶν ἀγομένοις ἀδύνατον. Στρωμ. III, V. § 43. — 3) Cognat pag. 239. —

οἰήσει, ἐν δὲ τῇ ἐπιστήμῃ ἡ Ἐκκλησία, πάντων τῶν τέκνων αὐτῆς συμπεριλαμβανομένων [1])· ἐν γὰρ τῷ Παιδαγωγῷ ἑρμηνεύων τὸ τοῦ ἀποστόλου λόγιον „οὐκ ἔνι Ἰουδαῖος οὔτε Ἕλλην, οὐκ ἔνι δοῦλος οὔτε ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ“ [2]), συμπεραίνει λέγων „οὐκ ἄρα οἱ μὲν γνωστικοί, οἱ δὲ ψυχικοὶ ἐν αὐτῷ τῷ Λόγῳ, ἀλλ' οἱ πάντες . . . ἴσοι καὶ πνευματικοὶ παρὰ τῷ Κυρίῳ“ [3]). Τῆς τελείας ἀρετῆς ἐφικνεῖται παρὰ τῇ Στοᾷ μόνος ὁ σοφός, τῆς δὲ παρὰ τῷ Κλήμεντι „τελειότητος ἔξεστιν ἐπ' ἴσης μὲν ἀνδρί, ἐπ' ἴσης δὲ καὶ γυναικὶ μεταλαβεῖν“ [4])· ἡ αὐτὴ γὰρ ἀρετὴ ἀνδρὸς καὶ γυναικός, φησὶ Κλήμης, καὶ ἐν γνησίῳ χριστιανικῷ πνεύματι τὴν πλήρη τούτων ἰσότητα περιγράφων, τοὺς λαμπροὺς ἐκείνους ἐπάγει λόγους „εἰ γὰρ ἀμφοῖν ὁ Θεὸς εἷς, εἷς δὲ καὶ ὁ παιδαγωγὸς ἀμφοῖν, μία Ἐκκλησία, μία σωφροσύνη, αἰδὼς μία, ἡ τροφὴ κοινή, γάμος συζύγιος, ἀναπνοή, ὄψις, ἀκοή, γνῶσις, ἐλπίς, ὑπακοή, ἀγάπη, ὅμοια πάντα, ὧν δὲ κοινὸς μὲν ὁ βίος, κοινὴ δὲ ἡ χάρις, κοινὴ δὲ καὶ ἡ σωτηρία, κοινὴ τούτων καὶ ἡ ἀγάπη καὶ ἡ ἀγωγή“ [5]). Ἡ παρὰ τῷ Κλήμεντι γνῶσις πᾶσι καὶ ἄνευ γραμμάτων προσιτὴ τυγχάνει, ἀνδράσι καὶ γυναιξί, νέοις καὶ γέρουσιν, Ἕλλησι καὶ βαρβάροις, ἐλευθέροις καὶ δούλοις, ἐν δυνάμει Θεοῦ, τῇ μόνῃ καὶ ἄνευ τῶν ἀποδείξεων διὰ ψιλῆς τῆς πίστεως σώζειν δυναμένῃ [6])· „μεστὴ πᾶσα ἡ Ἐκκλησία τῶν μελετησάντων τὸν ζώπυρον θάνατον εἰς Χριστὸν παρ' ὅλον τὸν βίον καθάπερ ἀνδρῶν, οὕτω δὲ καὶ γυναικῶν σωφρόνων· ἔξεστι γὰρ τῷ καθ' ἡμᾶς πολιτευομένῳ καὶ ἄνευ γραμμάτων φιλοσοφεῖν κἂν βάρβαρος ᾖ κἂν Ἕλλην κἂν δοῦλος κἂν γέρων κἂν παιδίον κἂν γυνή· κοινὴ γὰρ πάντων τῶν ἀνθρώπων τῶν γε ἑλομένων ἡ σω-

1) *Στρωμ.* VII, XVI, § 100. — 2) *Γαλ.* 3, 26—29. — 3) *Παιδ.* I, VI. § 31. — 4) *Στρωμ.* IV, XIX. § 120. — 5) *Παιδ.* I, IV. § 10. — 6) *Στρωμ.* V, I. § 9.

φροσύνη . . . σωφροσύνης οὖν ἐπιμελητέον καὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς ἁπάσης ὁμοίως μὲν γυναικί, ὁμοίως δὲ καὶ ἀνδρί, ἐλευθέρῳ τε καὶ δούλῳ, ἐπειδὴ μίαν καὶ τὴν αὐτὴν ἀρετὴν εἶναι τῆς αὐτῆς φύσεως συμβέβηκεν" [1]).

§ 7. *Ἡ γνῶσις τοῦ Κλήμεντός ἐστι καθαρῶς θρησκευτικὴ καὶ δὴ χριστιανική· ἡ γὰρ γνησία πίστις μαθήσεώς ἐστι τελειότης, ἡ δὲ γνῶσις συνανατέλλει τῷ φωτίσματι, περιαστράπτουσα τὸν νοῦν* [2])· *„καὶ ὁ μόνον ἀναγεννηθεὶς ὥσπερ οὖν καὶ τοὔνομα ἔχει, φωτισθεὶς ἀπήλλακται μὲν παραχρῆμα τοῦ σκότους, ἀπείληφε δὲ αὐτόθεν τὸ φῶς"* [3]). *Ἐπειδὴ δὲ πλειστάκις ὁ Κλήμης εὔφημον περὶ τῆς Ἑλληνικῆς φιλοσοφίας ποιεῖται λόγον, ἀποκαλῶν αὐτὴν προπαιδείαν καὶ ὑποβάθραν τῆς κατὰ Χριστὸν πίστεως* [4]), *φοβούμενος μὴ ὑπὸ τῶν φιλεγκλημόνων παρανοηθῇ, σαφῶς ἀποφαίνεται, ὅτι οὐκ αἴτιον οὐδ' ἐκ τῶν ὧν οὐκ ἄνευ τὴν Ἑλληνικὴν φιλοσοφίαν πρὸς πίστιν ἡγεῖται εἶναι, ταπεινοφρονῶν δ' ἑαυτὸν ἐναριθμεῖ τοῖς ἄνευ φιλοσοφίας καὶ δὴ ἄνευ τῆς στοιχειώδους παιδεύσεως εἰς Χριστὸν πιστεύσασι καὶ σοφισθεῖσιν· „οὐκ αἴτιον τιθέμενοι τὸ συναίτιον οὐδὲ μὴν τὸ συνεργὸν συνεκτικὸν οὐδ' ὡς ἧς οὐκ ἄνευ τὴν φιλοσοφίαν, ἐπεὶ σχεδὸν οἱ πάντες ἄνευ τῆς ἐγκυκλίου παιδείας καὶ φιλοσοφίας τῆς Ἑλληνικῆς, οἱ δὲ καὶ ἄνευ γραμμάτων τῇ θείᾳ καὶ βαρβάρῳ κινηθέντες φιλοσοφίᾳ δυνάμει τὸν περὶ Θεοῦ διὰ πίστεως παρειλήφαμεν λόγον, αὐτουργῷ σοφίᾳ πεπαιδευμένοι"* [5]). *Οἱ Χριστιανοί*

1) *Στρωμ.* IV, VIII, § 59, 60. — 2) *Παιδ.* I, VI. § 29, 30. — 3) *Παιδ.* I, VI. § 27. — 4) *Στρωμ.* VI, VIII. § 67. — 5) *Στρωμ.* I, XX. § 99. *προβλ. Στρωμ.* VII, II. § 11. — *Ἐπεὶ ὅτι γε μία καθολικὴ τῆς ἀνθρωπότητος σωτηρία ἡ πίστις, ἰσότης δὲ καὶ κοινωνία τοῦ δικαίου καὶ φιλανθρώπου Θεοῦ ἡ αὐτὴ πρὸς πάντας, ὁ ἀπόστολος σαφέστατα ἐξηγήσατο. Παιδ.* I, VI. § 30. — *Ἔξεστιν ὑμῖν, ἣν ἐθέλητε, ἐξωνήσασθαι τὴν πολυτίμητον σωτηρίαν οἰκείῳ θησαυρῷ, ἀγάπῃ καὶ πίστει ζωῆς, ὅς ἐστιν ἀξιόλογος μισθός· ταύτην ἡδέως τὴν τιμὴν ὁ Θεὸς λαμβάνει. Προτρ.* IX. § 86. — *Μετὰ τὰς ἄνω εἰρημένας περὶ ἰσότητος πάντων τῶν Χριστιανῶν σαφεστάτας τοῦ Κλήμεντος δηλώσεις*

εἰσι θεοδίδακτοι κατὰ Κλήμεντα, μόνοι γὰρ οὗτοι ἱερὰ ὄντως διδάσκονται γράμματα, καὶ μόνη κυρία ἐστὶν ἀλήθεια, ἣν παρὰ τῷ υἱῷ τοῦ Θεοῦ παιδεύονται [1]). Ὁ γνωστικὸς οὐκ ἔστιν ὁ κατὰ κόσμον σοφός, ἀλλ᾽ ὁ καθ᾽ ὅλου καὶ τῷ ὄντι Χριστιανός, ὁ ἐπὶ τὸν θεμέλιον τῆς πίστεως κατὰ τὸν ἀπόστολον χρυσόν, ἄργυρον, λίθους τιμίους ἐποικοδομῶν [2])· τὸν βίον γὰρ τοῦ πάντως ἐν πᾶσι κατορθοῦντος γνωστικοῦ περιγράψας ὁ Κλήμης, καὶ τοῦτον ἀνακεφαλαιούμενος, λέγει „αὕτη μὲν οὖν ὡς ἐν ἐπιδρομῇ φάναι ἡ τοῦ Χριστιανοῦ θεοσέβεια", καὶ πάλιν εἰπὼν ὅτι μόνος θεοσεβὴς καὶ δίκαιός ἐστιν ὁ γνωστικός, ἐπάγει „οὐκ ἄρα ἄθεος ὁ Χριστιανός· τουτὶ γὰρ ἦν τὸ προκείμενον ἐπιδεῖξαι τοῖς φιλοσόφοις" [3]). Ἀλλαχοῦ δὲ πάλιν τὸν βίον τοῦ γνωσικοῦ ὡς διηνεκῆ ἑορτὴν ἕνεκεν τῆς ἀδιαλείπτου προσευχῆς παραστήσας, ἀμέσως τὸ τοιοῦτον ἐπὶ τοῦ βίου πάντων τῶν Χριστιανῶν ἐφαρμόζων, λέγει „πάντα τοίνυν τὸν βίον ἑορτὴν ἄγοντες, πάντη πάντοθεν παρεῖναι τὸν Θεὸν πεπεισμένοι, γεωργοῦμεν αἰνοῦντες, πλέομεν ὑμνοῦντες, κατὰ τὴν ἄλλην πολιτείαν ἐντέχνως ἀναστρεφόμεθα" [4])· ὧν δ᾽ ἁπλῶς πιστῶν τὰ ἔργα μέσας πράξεις ἢ καθήκοντα ἐκάλεσε, τούτους ἀλλαχοῦ μακαρίους ὀνομάζει, παῖδας ἔτι ἐν πίστει, οὔπω δ᾽ ἄνδρας γεγονότας ἐν τῇ πρὸς τὸν Θεὸν ἀγάπῃ, καθάπερ ὁ γνωστικός [5])· πρόοδος ἄρα ἐν τῇ ἀρετῇ, κορυφουμένη καὶ τελειουμένη ἐν τῇ τελείᾳ ἀγάπῃ. Πιστεύσαντα ἀγαπᾶν τὸν Θεὸν καὶ τὸν πλησίον ἐστὶ τελεία γνῶσις, ἀληθὴς φιλοσο-

οὐκ οἶδα τίνος ἕνεκεν λόγου ὁ Hofstede de Groot κατηγορεῖ αὐτοῦ Στωϊκὴν ἀλαζονείαν, λέγων ὅτι Κλήμης τὴν σπουδαιοτάτην πασῶν τῶν ἀρετῶν, τὴν ταπεινοφροσύνην, ἐγκαταλιπών, ἐκ ταπεινοῦ τῆς βασιλείας τοῦ Θεοῦ πολίτου ὑπερήφανος ἐγένετο Στωϊκός: Clementem deseruisse omnium virtutum gravissimam, modestiam dico, et ex submisso regni divini cive superbientem factum esse Stoicum. (P. Hofstede de Groot, disputat. de Clemente Alex. philosopho christiano, Groeningae 1826 p. 101). — 1) Στρωμ. I, XX. § 98. — 2) α΄. Κορινθ. 3, 12. Στρωμ. VI, XVII. § 152. — 3) Στρωμ. VII, IX. § 54. — 4) Στρωμ. VII, VII. § 35. — 5) Στρωμ. VII, XI. § 67.

φία, κατόρθωμα, ὃ πάντες δύνανται κατορθῶσαι, καὶ αὐτοὶ οἱ μὴ ἀναγιγνώσκειν μεμαθηκότες· πᾶσι γὰρ ἔξεστι θείας ἀκροᾶσθαι σοφίας καὶ ἐν κόσμῳ κοσμίως καὶ κατὰ Θεὸν πολιτεύεσθαι· „Ἀλλ' οὐ πάντες, φησί, φιλοσοφοῦμεν· μή τι οὖν οὐδὲ πάντες τὴν ζωὴν μετερχόμεθα; τί σὺ λέγεις; πῶς οὖν πεπίστευκας; πῶς δ' ἔτι ἀγαπᾷς τὸν Θεὸν καὶ τὸν πλησίον σου, μὴ φιλοσοφῶν; πῶς δὲ σεαυτὸν ἀγαπᾷς, εἰ μὴ φιλοζωεῖς; γράμματα, φησίν, οὐκ ἔμαθον· ἀλλ' εἰ μὴ τὸ ἀναγινώσκειν ἔμαθες, τὸ ἀκούειν ἀναπολόγητον, ὅτι μὴ διδακτόν, πίστις δὲ οὐ σοφῶν τῶν κατὰ κόσμον, ἀλλὰ τῶν κατὰ Θεόν ἐστι τὸ κτῆμα· ἡ δὲ καὶ ἄνευ γραμμάτων ἐκπαιδεύεται, καὶ τὸ σύγγραμμα αὐτῆς τὸ ἰδιωτικὸν ἅμα καὶ θεῖον ἀγάπη κέκληται, σύνταγμα πνευματικόν“ [1]). Ἀλλαχοῦ δὲ πάλιν σαφέστατα ὁ Κλήμης οὐδεμίαν ποιεῖται διάκρισιν κατορθώματος καὶ καθήκοντος καὶ τὰς τῆς σωτηρίας διαφορὰς αἴρει“ [2])· „Τὸ δὲ κατορθούμενον κατὰ τὴν τοῦ λόγου ὑπακοὴν προσῆκον καὶ καθῆκον Στωϊκῶν ὀνομάζουσι παῖδες· τὸ μὲν οὖν καθῆκον προσῆκόν ἐστιν, ὑπακοὴ δὲ θεμελιοῦται ἐντολαῖς· αὗται δὲ ταῖς ὑποθήκαις αἱ αὐταὶ οὖσαι τὴν ἀλήθειαν ἔχουσαι σκοπόν, ἐπὶ τὸ ἔσχατον ὀρεκτόν, ὃ τέλος νοεῖται, παιδαγωγοῦσι, τέλος δέ ἐστι θεοσεβείας ἡ ἀΐδιος ἀνάπαυσις ἐν τῷ Θεῷ, τοῦ δὲ αἰῶνός ἐστιν ἀρχὴ τὸ ἡμέτερον τέλος· τὸ μέν τοι τῆς θεοσεβείας κατόρθωμα δι' ἔργων τὸ καθῆκον ἐκτελεῖ· ὅθεν εἰκότως τὰ καθήκοντα περὶ τὰς πράξεις, οὐ τὰς λέξεις, συνίστανται· καὶ ἔστιν ἡ μὲν πρᾶξις ἡ τοῦ Χριστιανοῦ ψυχῆς ἐνέργεια λογικῆς κατὰ κρίσιν ἀστείαν καὶ ὄρεξιν ἀληθείας διὰ τοῦ συμφυοῦς καὶ συναγωνιστοῦ σώματος ἐκτελουμένη, καθῆκον δὲ ἀκόλουθον ἐν τῷ βίῳ, Θεῷ καὶ Χριστῷ βούλημα ἕν, κατορθούμενον ἀϊδίῳ ζωῇ· καὶ γὰρ ὁ βίος ὁ Χριστιανῶν, ὃν παιδαγωγούμεθα νῦν, σύστημά τί ἐστι λογικῶν πράξεων,

1) *Παιδ.* III, XI. § 78. — 2) Quae discrimina (salutis) sustulisse videtur Clemens. Reuter p. 29. *πρβλ.* Cognat p. 298 *σημ.*

τοῦτ᾽ ἔστι τῶν ὑπὸ τοῦ Λόγου διδασκομένων ἀδιάπτωτος ἐνέργεια, ἣν δὴ πίστιν κεκλήκαμεν [1]).

§ 8. Ἐκ τῶν προμνημονευθέντων χωρίων καὶ ἑτέρων πολλῶν, ἃ συντομίας χάριν παρελίπομεν, σαφῶς καταφαίνεται ὅτι ἡ γνῶσις τοῦ Κλήμεντος, καθάπερ καὶ ἡ τελειότης τῆς ἀρετῆς, τοῖς πᾶσι προσιτὴ οὖσα, περιγίγνεται ἐναντίον τῇ Στωϊκῇ θεωρίᾳ καὶ ἄνευ τῆς φιλοσοφίας καὶ δὴ καὶ αὐτῆς τῆς στοιχειώδους διδασκαλίας. Οὐκ ἄρα ὑποβιβάζει Κλήμης τὴν ἄνευ ἐπιστήμης πίστιν, οὐδὲ προσπολεμεῖ τοῖς ἐκ πίστεως Χριστιανοῖς, ὡς ἔδοξέ τισιν [2]), ἀλλ᾽ ἀπαιτεῖ τὴν πίστιν ζῶσαν καὶ ἐνεργόν, ἐρευνῶσαν τὴν τοῦ Εὐαγγελίου ἀλήθειαν [3]) καὶ σπεύδουσαν εἰς τὴν κατὰ Χριστὸν τελειότητα, τὸν ἁγιασμὸν καὶ τὴν ἐξ ἀγάπης ἐπιτέλεσιν πάσης ἀρετῆς. Ἵνα δὲ τὸ πνεῦμα τοῦ Κλήμεντος ὀρθῶς κατανοήσωμεν καί τινας αὐτοῦ περὶ πίστεως καὶ γνώσεως ὑπερβολικὰς ἐκφράσεις δεόντως ἐξηγησώμεθα, ἐνθυμητέον ὅτι οὗτος τὸ μὲν στερρῶς ἀντέχεται τῆς πίστεως καὶ ταύτης ὑπερμαχεῖ κατά τε τῶν Γνωστικῶν, τῶν τοῖς ἁπλοῖς Χριστιανοῖς ταύτην ἀπονεμόντων καὶ πολυειδῶς προσβαλλόντων [4]), καὶ κατὰ τῶν Ἐθνικῶν, τῶν τὴν πίστιν ὡς κενὴν καὶ βάρβαρον νομιζόντων [5]) καὶ ἑπομένως προχείρως ταύτην ὡς εὔκολον καὶ πάνδημον διαβαλλόντων [6]), τὸ δὲ θερμῶς τὴν γνῶσιν συνίστησι, πρόρριζα ἀνασπῶν τὰς παρά τισι τότε ἐπικρατούσας προλήψεις καὶ πεπλανημένας περὶ ταύτης δόξας· ἦσαν γάρ τινες, εὐφυεῖς οἰόμενοι εἶναι, ἀξιοῦντες μήτε φιλοσοφίας ἅπτεσθαι μήτε διαλεκτικῆς, μηδὲ τὴν φυσικὴν θεωρίαν ἐκμανθάνειν, μόνην δὲ καὶ ψιλὴν τὴν πίστιν ἀπαιτοῦντες [7]), ἕτεροι δὲ πάλιν, ἀσθενεῖς τῇ

1) *Παιδ.* I, XIII. § 102. — 2) Er polemisirt gegen die Glaubenschristen (Merk S. 75). — 3) *Ἀκίνητον μὲν ὅτι πρὸς ἀλήθειαν καὶ τῷ ὄντι ἀργὸν οὐ βούλεται εἶναι τὸν πιστεύσαντα ὁ Λόγος. Στρωμ.* I, XI. § 51. — 4) *Στρωμ.* II, III. § 10. — 5) *Στρωμ.* VI, VIII. § 67. — 6) *Στρωμ.* II, II. § 8. — II, VI. § 30. — 7) *Στρωμ.* I, IX. § 43.

πίστει καὶ τῷ γράμματι τῆς Γραφῆς προσπεπατταλευμένοι, ἐδεδίεσαν τὴν παιδείαν καὶ δὴ τὴν Ἑλληνικὴν φιλοσοφίαν, ὡς οἱ παῖδες τὰ μορμολύκεια, φοβούμενοι μὴ ἀπαγάγῃ αὐτοὺς τῆς πίστεως [1]), χρῆναι λέγοντες περὶ τὰ ἀναγκαιότατα καὶ συνέχοντα τὴν πίστιν καταγίνεσθαι, ἀποφεύγειν δὲ τὰ ἔξωθεν καὶ περιττὰ ὡς μάτην ἡμᾶς τρίβοντα καὶ μὴ πρὸς τὸ τέλος συντελοῦντα [2]). Τούτους οὖν τῆς πλάνης ἀπαλλάξαι βουλόμενος, τὴν ὠφέλειαν καταδείκνυσι τῶν ἐγκυκλίων μαθημάτων καὶ ἰδίᾳ τῆς φιλοσοφίας, ἀποκαλῶν αὐτὴν προπαιδείαν καὶ ὑποβάθραν τῆς κατὰ Χριστὸν πίστεως, φραγμὸν καὶ θριγκὸν τοῦ ἀμπελῶνος Κυρίου, ὄργανον πρόσφορον πρὸς καλλιέργειαν τοῦ πνεύματος, πρὸς ἔλεγχον τῶν ἐναντίων καὶ πρὸς ἀπόκρουσιν τῶν δολερῶν κατὰ τῆς ἀληθείας ἐπιβουλῶν [3]). Ἐντεῦθεν ὁ γνωστικὸς τοῦ Κλήμεντος, εἴ που σχολὴ καὶ ἀνέσεως καιρὸς εἴη, ἀντὶ τῆς ἄλλης ῥαθυμίας καὶ τῆς Ἑλληνικῆς ἐφάπτεται φιλοσοφίας, οἷον τρωγάλιόν τι ἐπὶ τῷ δείπνῳ παροψώμενος, οὐ τῶν κρειττόνων ἀμελήσας, προσλαβὼν δὲ ἐφ᾽ ὅσον πρέπει καὶ ταῦτα [4])· οὗτος ποικίλων ἁπτόμενος μαθημάτων, καὶ ἀπὸ ἀριθμητικῆς καὶ γεωμετρίας καὶ ἀστρονομίας καὶ μουσικῆς καὶ ἀπὸ γραμματικῆς καὶ φιλοσοφίας τὸ χρήσιμον δρεπόμενος, τὰ πάντα ἐπὶ τὴν ἀλήθειαν ἀναφέρει καὶ ἀνεπιβούλευτον φυλάττει τὴν πίστιν· „πολύπειρος οὗτος τῆς ἀληθείας ἰχνευτὴς καὶ τῷ ὄντι πολύμητις δίκην τῆς βασάνου λίθου“ [5]). Ἐξαίρει δ᾽ ὁ Κλήμης ἰδίᾳ τὴν μουσικήν, κατάλληλον εἰς κατακόσμησιν ἤθους καὶ καταστολήν [6]).

1) *Στρωμ.* VI, X. § 80. — 2) *Στρωμ.* I, I. § 18. — 3) *Στρωμ.* VI, VIII. § 67. — I, XX. § 100. — I, I—XIV. — 4) *Στρωμ.* VI, XVIII. § 162. *πρβλ.* *Πλεῖον δέ τι καὶ μᾶλλον ἐπιτείνει τὸ γνωστικὸν ἀξίωμα ὁ τὴν προστασίαν τῆς τῶν ἑτέρων διδασκαλίας ἀναλαβών, τοῦ μεγίστου ἐπὶ γῆς ἀγαθοῦ τὴν οἰκονομίαν λόγῳ τε καὶ ἔργῳ ἀναδεξάμενος, δι᾽ ἧς πρὸς τὸ θεῖον συνάφειάν τε καὶ κοινωνίαν ἐμμεσιτεύει.* *Στρωμ.* VII, IX. § 52. — 5) *Στρωμ.* I, IX. § 43, 44. — VI, X. § 80—90. — 6) *Ἀπτέον ἄρα μουσικῆς εἰς κατακόσμησιν ἤθους καὶ*

Ἀλλ' οὐ τοῦ παρόντος κατ' ἀκρίβειαν τὸ κεφάλαιον τοῦτο διαπραγματεύσασθαι, τοῦ προκειμένου ἡμῖν ἀφισταμένους. Τοὺς οὖν τῆς παιδείας καθ' ὅλου ὀλιγωροῦντας ἐλέγχει Κλήμης, στύφοντι ἔστιν ὅτε χρώμενος λόγῳ· „οὐκ ἀφεκτέον τῆς φιλομαθίας ἀλόγων δίκην ζώων" [1]), ἀποκαλεῖ δὲ τοὺς τοιούτους ἀμαθῶς ψοφοδεεῖς [2]). Ταὐτὰ τῷ Κλήμεντι ἐφρόνουν καὶ ἐδίδαξαν μετὰ ἕνα καὶ ἥμισυν αἰῶνα καὶ δύο ἕτεροι περιφανεῖς τῆς Ἀνατολικῆς Ἐκκλησίας πατέρες καὶ διδάσκαλοι, Βασίλειος ὁ μέγας καὶ Γρηγόριος ὁ Ναζιανζηνὸς ὁ τοὐπίκλην θεολόγος, ὧν ὁ μὲν σπουδαῖον συνέγραψε λόγον, παρακαλῶν τοὺς νέους εἰς τὴν τῶν Ἑλλήνων συγγραφέων σπουδήν, ὑποδεικνὺς ἅμα ὅπως ἄν τις ἐκ τῆς τούτων ὠφελοῖτο μελέτης, ὁ δὲ ἐν τῷ εἰς τὸν Μ. Βασίλειον ἐπιταφίῳ αὐτοῦ λόγῳ σκαιοὺς καὶ ἀπαιδεύτους ἀποκαλεῖ τοὺς τὴν ἔξω παιδείαν, ὡς πόρρω Θεοῦ βάλλουσαν, διαβάλλοντας καὶ καταφρονοῦντας. Ὁ Κλήμης θρησκείαν καὶ ἐπιστήμην, ἀρετὴν καὶ παιδείαν, θεολογίαν καὶ φιλοσοφίαν συνδυάσας [3]), ἔθετο πρῶτος τὰ θεμέλια τοῦ μεγάλου οἰκο-

---

καταστολήν. — Ἀμέλει καὶ παρὰ πότον ψάλλειν ἀλλήλοις προπίνομεν κατεπᾴδοντες ἡμῶν τὸ ἐπιθυμητικὸν καὶ τὸν Θεὸν δοξάζοντες . . . . περιττὴ δὲ μουσικὴ ἀποπτυστέα ἡ κατακλῶσα τὰς ψυχὰς καὶ εἰς ποικιλίαν ἐμβάλλουσα τοτὲ μὲν θρηνώδη, τοτὲ δὲ ἀκόλαστον καὶ ἡδυπαθῆ, τοτὲ δὲ ἐκβακχευομένην καὶ μανικήν. Στρωμ. VI, XI. § 88, 89, 90.

1) Στρωμ. VI, XI. § 89. — 2) Οὐ λέληθε δέ με καὶ τὰ θρυλούμενα πρός τινων ἀμαθῶς ψοφοδεῶν χρῆναι λεγόντων περὶ τὰ ἀναγκαιότατα καὶ συνέχοντα τὴν πίστιν καταγίνεσθαι, τὰ δ' ἔξωθεν καὶ περιττὰ ὑπερβαίνειν, μάτην ἡμᾶς τρίβοντα καὶ κατέχοντα περὶ τοῖς οὐδὲν συμβαλλομένοις πρὸς τὸ τέλος· οἱ δὲ καὶ πρὸς κακοῦ ἂν τὴν φιλοσοφίαν εἰσδεδυκέναι τὸν βίον νομίζουσιν ἐπὶ λύμῃ τῶν ἀνθρώπων πρός τινος εὑρετοῦ πονηροῦ· ἐγὼ δὲ ὅτι μὲν ἡ κακία κακὴν φύσιν ἔχει καὶ οὔ ποτ' ἂν καλοῦ τινος ὑποσταίη γεωργὸς γενέσθαι, παρ' ὅλους ἐνδείξομαι τοὺς Στρωματεῖς, αἰνισσόμενος ἀμηγέπη θείας ἔργον προνοίας καὶ φιλοσοφίαν. Στρωμ. I I. § 18. — 3) Clément fut en effet le premier docteur chrétien, qui non seulement fit usage de l'érudition profane et de la philosophie grecque dans l'exposition et la défense du christianisme, mais qui, de plus, insista sur la nécessité d'unir la foi avec la raison, la théologie avec la philosophie,

δομήματος, ὃ χριστιανικὸς πολιτισμὸς καλεῖται. Ὅτι δὲ ὁ Κλήμης οὐκ ἐπλανήθη, οὕτω διδάξας, μαρτυρεῖ ἡ μακρὰ τῶν αἰώνων σειρά· ἐκεῖνα γὰρ τὰ ἔθνη ἀκμάζει καὶ εὐδαιμονεῖ, ὅσα τὸν Χριστιανισμὸν ἀσπασάμενα, θεράποντες ἅμα τῶν Μουσῶν ἐστι· δικαίως ἄρα λέγει Κλήμης „ἀναγκαῖον σύμπαντι τῷ τῶν ἀνθρώπων γένει παιδεία τε καὶ ἀρετή, εἴ γε ἐπὶ τὴν εὐδαιμονίαν σπεύδοιεν“ [1]).

Ἀλλ' ὁ σοφὸς τῆς Ἀλεξανδρείας κατηχητὴς καίπερ ὢν θερμὸς συνήγορος καὶ ἐπαινέτης τῆς Ἑλληνικῆς φιλοσοφίας καὶ τῆς καθόλου παιδείας, οὐκ ὀλιγωρεῖ τῆς πίστεως, τὴν πρὸς σωτηρίαν ἀναγκαιότητα αὐτῆς σαφῶς καθομολογῶν· οὔτε γὰρ ἡ κατὰ κόσμον σοφία οὔτε ὁ φαινόμενος ἐνάρετος τῶν Ἐθνικῶν βίος ὠφελήσει αὐτοὺς μετὰ θάνατον μὴ πιστεύσαντας, „Ἀβραὰμ οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀλλ' ἐκ πίστεως· οὐδὲν οὖν ὄφελος αὐτοῖς μετὰ τὴν τελευτὴν τοῦ βίου, κἂν εὐεργεῖς ὦσι νῦν, εἰ μὴ πίστιν ἔχοιεν“ [2]).

§ 9. Ὁ Κλήμης φαίνεται παραδεχόμενος ἑνότητα ἐν

la religion avec la science, et chercha à définir les conditions et les avantages de cette union (Cognat, préface III). *Ἐνταῦθα τοῦ λόγου γενόμενοι, εὔκαιρον ἡγούμεθα εἶναι τὸν παρὰ Κλήμεντι ὁρισμὸν τῆς παιδαγωγίας καὶ τὴν περὶ γυμναστικῆς σοφὴν αὐτοῦ γνώμην παραθέσθαι· „Παιδαγωγίαν δὲ ὁμολογοῦμεν εἶναι ἀγωγὴν ἀγαθὴν ἐκ παίδων πρὸς ἀρετήν“. Παιδ.* I, V. § 16. *Παιδαγωγία δὲ ἡ θεοσέβεια, μάθησις οὖσα Θεοῦ θεραπείας καὶ παίδευσις εἰς ἐπίγνωσιν ἀληθείας, ἀγωγή τε ὀρθή, ἀνάγουσα εἰς οὐρανόν . . . Ὥσπερ οὖν κατευθύνει τὴν φάλαγγα ὁ στρατηγός . . . καὶ ὁ κυβερνήτης οἰακίζει τὸ σκάφος . . οὕτω καὶ ὁ παιδαγωγὸς ἄγει τοὺς παῖδας ἐπὶ τὴν σωτήριον δίαιταν . . . ἡ ἀγωγὴ ἡ θεία κτῆμά ἐστιν ἐς ἀεὶ παραμένον. Παιδ.* I, VII. § 53, 54. — *Μειρακίοις δὲ γυμνάσιον ἀπόχρη, κἂν βαλανεῖον παρῇ· καὶ γὰρ καὶ ταῦτα τοῖς ἀνδράσι παντὸς μᾶλλον πρὸ τῶν λουτρῶν ἐγκρῖναι οὐ φαῦλον ἴσως, ἔχοντά τι χρήσιμον τοῖς νέοις πρὸς ὑγίειαν, σπουδήν τε καὶ φιλοτιμίαν ἐντιθέντα, οὐχὶ εὐεξίας μόνον, ἀλλὰ καὶ εὐψυχίας ἐπιμελεῖσθαι, ὃ δὴ γινόμενον ἄνευ τοῦ τῶν κρειττόνων ἔργων ἀποσπᾶσθαι χάριεν καὶ οὐκ ἀλυσιτελές. Παιδ.* III, X. § 49. — *Ὁ Κλήμης ὡς παιδαγωγὸς πολλοῦ λόγου ἐστὶν ἄξιος καὶ δύναται γενέσθαι θέμα ἰδίας μελέτης, ὃ οὔπω ἐγένετο, ὅσον γ' ἡμᾶς εἰδέναι.*

1) *Στρωμ.* IV, VIII. § 64. — 2) *Στρωμ.* I, VII. § 38. *Ρωμ.* 4, 1—8.

τῇ ἀρετῇ· εἰ γὰρ ὁ ἠθικὸς βίος ἀπόρροια τοῦ ἠθικοῦ φρονήματός ἐστι, τοῦτο δὲ ἓν κατ᾽ οὐσίαν, ἕπεται ὅτι ὁ τοιοῦτο κτησάμενος φρόνημα ἔχει τὸ γένος τῆς ἀρετῆς, ἣ διάφορα ὀνόματα ἓν τῷ πρακτικῷ λαμβάνει βίῳ· ἀνὴρ ἐν τῷ φρονήματι καὶ ἐν τῇ καρδίᾳ ἐνάρετος οὐ ταύτης μὲν τῆς ἀρετῆς ἀνθέξεται καὶ τῆς ἑτέρας καταφρονήσει, ἀλλὰ πάσας, ὡς οἷόν τε, ἀσκήσει, ἁρμονίαν οὕτως εἰπεῖν τοῦ ἠθικοῦ βίου ἀποτελῶν. Ὥσπερ τὰ θερμαίνοντα καὶ τὰ ἄλγος ἐμποιοῦντα πολλὰ ὄντα ἓν κατὰ δύναμίν ἐστιν, οὕτω τὸ πλῆθος τῶν ἀρετῶν ἓν κατὰ γένος ἐστίν [1]). Ὡς οἱ πολλοὶ ἄνθρωποι οἱ καθέλκοντες τὴν ναῦν οὐ πολλὰ αἴτια λέγοιντ᾽ ἄν, ἀλλ᾽ ἐκ πολλῶν αἴτιον ἕν, οὕτω, λέγει Κλήμης, „εἰ σκοποῖμεν, μία κατὰ δύναμίν ἐστιν ἡ ἀρετή, ταύτην δὲ συμβέβηκε τούτοις μὲν τοῖς πράγμασιν ἐγγενομένην λέγεσθαι φρόνησιν, ἐν τούτοις δὲ σωφροσύνην, ἐν τούτοις δὲ ἀνδρείαν ἢ δικαιοσύνην“ [2]). Ὁ τὸ γένος οὖν τῆς ἀρετῆς γνωστικῶς ἔχων ἔχει καὶ τὰ εἴδη αὐτῆς, τὰς ἐπὶ μέρους ἀρετάς· „ἀντακολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταί, καὶ παρ᾽ ᾧ αἱ τῶν ἀρετῶν ἀκολουθίαι, παρὰ τούτῳ καὶ ἡ σωτηρία, τήρησις οὖσα τοῦ εὖ ἔχοντος· εἰκότως ἔτι περὶ τούτων διαλαβόντες τῶν ἀρετῶν, περὶ πασῶν ἂν εἴημεν ἐσκεμμένοι, ὅτι ὁ μίαν ἔχων ἀρετὴν γνωστικῶς πάσας ἔχει διὰ τὴν ἀντακολουθίαν“ [3]). Ἡ τοῦ Κλήμεντος αὕτη διδασκαλία μεγίστην ἔχει ὁμολογουμένως ἀναλογίαν πρὸς τὴν διδασκαλίαν τοῦ ἀποστόλου Παύλου, καθ᾽ ὃν ἡ ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου κεφάλαιόν ἐστι πασῶν τῶν ἀρετῶν [4])· „ὁ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε· τὸ γὰρ οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ συγκεφαλαιοῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς

1) *Στρωμ.* VIII, IX. § 31. — 2) *Στρωμ.* I, XX. § 97. — 3) *Στρωμ.* II, XVIII. § 80. — 4) *α΄. Τιμοθ.* 1, 5.

ἑαυτόν· ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη" [1]). Τοιαύτην τινὰ διδασκαλίαν περὶ ἑνότητος τῆς ἀρετῆς ἐδίδαξαν παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ὅ τε Σωκράτης καὶ ὁ Πλάτων [2]) καὶ οἱ Στωϊκοί, ὧν καὶ τὰς ἐκφράσεις παρέλαβε Κλήμης· τὸ γὰρ „ἀντακολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταὶ" ῥῆσίς ἐστι τοῦ Χρυσίππου, ὡς μαρτυρεῖ Πλούταρχος [3]).

Δ'. Περὶ ἐγκρατείας καὶ ἀπαθείας.

§ 1. Ἄγνοια καὶ ἀσθένειά εἰσι κατὰ Κλήμεντα ἀρχαὶ πάσης σχεδὸν ἁμαρτίας, „ὥσπερ ἀμέλει καὶ βόθρῳ περιπίπτει τις ἤτοι ἀγνοήσας ἢ ἀδυνατήσας ὑπερβῆναι δι' ἀσθένειαν σώματος" [4]). Ὁ τοίνυν ἁμαρτίας ὡς οἷόν τε καθαρεύειν βουλόμενος ὀφείλει, γνοὺς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, σθένος κτήσασθαι ψυχῆς καὶ ἰσχὺν θελήσεως, θεμέλιον ἀρετῶν κατατιθέμενος τὴν ἐγκράτειαν, ἐπιτάττουσαν τοῖς πάθεσι, κρείττω καθιστᾶσαν τῶν τοῦ βίου καὶ τὴν ψυχὴν ἁγιάζουσαν· „λαβεῖν δὲ ἄλλως οὐκ ἔστι τὴν ἐγκράτειαν ταύτην ἢ χάριτι Θεοῦ" [5]). Ταύτην ἀσκεῖ ὁ γνωστικὸς οὐ διὰ τὸ μῖσος τὸ πρὸς τὴν σάρκα ἀλλὰ δι' ἀγάπην τὴν πρὸς τὸν Κύριον, εἰδὼς ὅτι αὕτη τὴν ἁρμονίαν ψυχῆς καὶ σώματος συνεπάγεται, ἧς ἄνευ οὐκ ἔστι τελείαν κτήσασθαι

---

1) *Ρωμ.* 13, 9, 10. *πρβλ. Ματθ.* 22, 40. *Μαρκ.* 12, 31. *Γαλατ.* 5, 14. — *Ἰακώβ.* 2, 8. — 2) Zeller II, I. 218. Heinze I, S. 103, 156. Ritter etc. p. 205. Virtutem, si sola boni scientia constat, apparet et unam esse et doceri posse. — 3) *Τὰς ἀρετάς φησι (Χρύσιππος) ἀντακολουθεῖν ἀλλήλαις οὐ μόνον τῷ τὴν μίαν ἔχοντα πάσας ἔχειν, ἀλλὰ καὶ τῷ τὸν κατὰ μίαν ὁτιοῦν ἐνεργοῦντα κατὰ πάσας ἐνεργεῖν: Πλουτ. Στωϊκ. Ἐναντ.* 24. *πρβλ. Διογ. Λαερτ.* VII, 125. *καὶ Στοβ. ἐκλογ.* II, 110. *πάσας δὲ τὰς ἀρετάς . . . κοινά τε θεωρήματα ἔχειν καὶ τέλος, ὥς εἴρηται, τὸ αὐτὸ, διὸ καὶ ἀχωρίστους εἶναι· τὸν γὰρ μίαν ἔχοντα πάσας ἔχειν καὶ τὸν κατὰ μίαν πράττοντα κατὰ πάσας πράττειν. πρβλ.* Zeller III, I. S. 141. — 4) *Στρωμ.* VII, XVI. § 101. — II, IV. § 62. — II, XX. § 105. — 5) *Στρωμ.* III, VII. § 57.

γνῶσιν [1]). Χριστιανικὴν δ' ἐγκράτειαν συνίστησιν ὁ Κλήμης, πλείστοις ὅσοις στηρίζων αὐτὴν Γραφικοῖς χωρίοις, βαρέως πατάσσων καὶ πικρῶς ὀνειδίζων τοῖς ἀλόγως ἐγκρατευομένοις, οὓς ὁτὲ μὲν ἀμαθεῖς καὶ ἀθέους [2]), ὁτὲ δ' ἀντιχρίστους ὀνομάζει, τοὺς εὐφήμως δι' ἐγκρατείας ἀσεβοῦντας εἴς τε τὴν κτίσιν καὶ τὸν ἅγιον δημιουργόν [3]). „Ἐπεὶ δ' οἱ ψευδώνυμοι οὗτοι τὸ σῶμα διαβάλλουσι, μαθέτωσαν ὅτι καὶ ἡ τοῦ σώματος εὐαρμοστία συμβάλλεται τῇ διανοίᾳ πρὸς τὴν εὐφυΐαν“ [4]). Ἐπιμαρτυρόμενος δὲ τὸν Πλάτωνα, ἐν τῷ τρίτῳ βιβλίῳ τῆς Πολιτείας λέγοντα „ἐπιμελεῖσθαι σώματος δεῖν ψυχῆς ἕνεκεν ἁρμονίας“, ἐπάγει, „δι' οὗ βιοῦν τέ ἐστι καὶ ὀρθῶς βιοῦν καταγγέλλοντα τῆς ἀληθείας τὸ κήρυγμα· διὰ γὰρ τοῦ ζῆν καὶ τῆς ὑγείας ὁδεύοντες μανθάνομεν τὴν γνῶσιν . . . ἐν γοῦν τῷ ζῆν τὸ εὖ ζῆν κατορθοῦται, καὶ εἰς ἕξιν ἀϊδιότητος παραπέμπεται ὁ διὰ σώματος μελετήσας εὐζωΐαν“ [5]). Τὴν ἀληθῆ χριστιανικὴν ἐγκράτειαν συνιστάς, καθάπτεται τῶν αἱρέσεων, αἳ ἤτοι ἀδιαφόρως ζῆν ἐδίδασκον, ἢ τὸ ὑπέρτονον ἄγουσαι

1) *Ἡμεῖς δι' ἀγάπην τὴν πρὸς τὸν Κύριον καὶ δι' αὐτὸ τὸ καλὸν ἐγκράτειαν ἀσπαζόμεθα, τὸν νεὼν τοῦ Πνεύματος ἁγιάζοντες.* Στρωμ. III, VII. §59. *Ὡς ἡ ταπεινοφροσύνη πραότης ἐστίν, οὐχὶ δὲ κακουχία σώματος, οὕτω καὶ ἡ ἐγκράτεια ψυχῆς ἀρετὴ ἡ οὐκ ἐν φανερῷ, ἀλλ' ἐν ἀποκρύφῳ.* III, VI. § 48. *Πῶς ἔστι δυνατὸν ἡττηθέντα τῶν τοῦ σώματος ἡδονῶν ἐξομοιοῦσθαι τῷ Κυρίῳ ἢ γνῶσιν ἔχειν Θεοῦ; . . . καθαρευτέον εἰς δύναμιν τῶν ἡδονῶν καὶ τῶν ἐπιθυμιῶν . . . καθαρὸς γὰρ ὢν καὶ πάσης κακίας ἀπηλλαγμένος ὁ νοῦς δεκτικός πως ὑπάρχει τῆς τοῦ Θεοῦ δυνάμεως, ἀνισταμένης ἐν αὐτῷ τῆς θείας εἰκόνος . . . Θεοῦ γνῶσιν λαβεῖν τοῖς ἔτι ὑπὸ τῶν παθῶν ἀγομένοις ἀδύνατον.* III, V. § 42, 43. *Πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ἀντὶ τοῦ εἰς πάντα ἐγκρατεύεται, οὐ πάντων ἀπεχόμενος, ἀλλ' οἷς ἔκρινεν ἐγκρατῶς χρώμενος· ἐκεῖνοι μὲν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἵνα ἄφθαρτον, νικῶντες ἐν τῇ πάλῃ, οὐχὶ δὲ ἀκονιτὶ στεφανούμενοι.* III, XVI § 101. α΄. Κορινθ. 9, 25. — 2) *Οἱ δὲ διὰ τὸ μῖσος τὸ πρὸς τὴν σάρκα τῆς κατὰ γάμον συναλλαγῆς καὶ τῆς τῶν καθηκόντων βρωμάτων μεταλήψεως ἀχαρίστως ἀπαλλάττεσθαι ποθοῦντες, ἀμαθεῖς τε καὶ ἄθεοι, ἀλόγως ἐγκρατευόμενοι.* III, VII. § 60. — 3) Στρωμ. III, VI. § 45. — 4) Στρωμ. IV, IV. § 17. — 5) Στρωμ. IV, IV. § 18.

ἐγκράτειαν διὰ δυσσεβείας καὶ φιλαπεχθημοσύνης κατήγγελλον [1]). Πολλοὶ γὰρ τούτων τὴν ὕλην ἔργον τοῦ δημιουργοῦ καὶ οὐχὶ τοῦ ἀγαθοῦ Θεοῦ ἡγούμενοι εἶναι, ἐπολέμουν τῇ γενέσει καὶ τὴν σάρκα ἐμυσάττοντο [2]), καὶ οἱ μὲν παντελῶς ἀπεῖχον τοῦ γάμου, ὡς ἀκαθάρτου καὶ ἀθέσμου [3]), οἱ δὲ ἀναίδην τὸ παραχρῆσθαι τῇ σαρκὶ ἐδίδασκον· οὐδὲ γὰρ μέγα ἔλεγον εἶναι ἀπέχεσθαι ἡδονῆς μὴ πεπειραμένον, ἐν αὐτῇ δὲ γενόμενον μὴ κρατεῖσθαι [4]), ἀλλὰ δι᾽ αὐτῆς καὶ ἐν αὐτῇ γυμνάζεσθαι. Ἀμφότεροι οὗτοι ἄντικρυς τὰ θεμέλια ὑπέσκαπτον τῆς κοινωνίας, τὸ μυστήριον διαβάλλοντες τοῦ γάμου· τοῖς τοιούτοις οὖν ὀλεθρίοις συστήμασιν ἀντιμαχόμενος ὁ Κλήμης καὶ τοὺς ἱδρυτὰς αὐτῶν θεομάχους καὶ βλασφήμους ἀποκαλῶν [5]), ἀποδείκνυσι μὲν ὅτι ὁ αὐτός ἐστιν ὁ ἀγαθὸς Θεὸς καὶ ὁ τοῦ σύμπαντος κόσμου δημιουργός, ὁ τῆς παλαιᾶς καὶ τῆς καινῆς διαθήκης [6]), ὁ νομοθέτης καὶ ὁ εὐαγγελιστής [7]), ὑποστηρίζει δὲ τὸ θεμιτὸν καὶ τὴν ἁγιότητα τοῦ γάμου, νόμον τοῦ Θεοῦ καὶ μυστήριον ἅγιον τοῦτον κηρύττων [8]), ἐκ τῆς ἁγίας Γραφῆς, τῆς ἱστορίας καὶ τοῦ ὀρθοῦ λόγου

1) Στρωμ. III, V. § 40. — 2) *Εἰ δὲ γένεσις κακόν, ἐν κακῷ λεγόντων οἱ βλάσφημοι τὸν γενέσεως μετειληφότα Κύριον, ἐν κακῷ τὴν γεννήσασαν παρθένον. Οἴμοι τῶν κακῶν! βλασφημοῦσι τὸ βούλημα τοῦ Θεοῦ καὶ τὸ μυστήριον τῆς κτίσεως, τὴν γένεσιν διαβάλλοντες.* Στρωμ. III, XVII. § 102. — 3) *Μιαρὰν δὲ εἶναι τὴν συνουσίαν λέγοντες οὗτοι οἱ τὴν σύστασιν καὶ αὐτοὶ ἐκ συνουσίας εἰληφότες πῶς οὐκ ἂν εἶεν μιαροί;* Στρωμ. III, VI. § 46. — 4) Στρωμ. II, XX. § 117. — III, IV. § 25. *Οὕτω καὶ Ἀρίστιππος ὁ Κυρηναῖος ὀνειδιζόμενος ἐπὶ τῷ συνεχῶς ὁμιλεῖν τῇ ἑταίρᾳ τῇ Κορινθίᾳ Λαΐδι, ἔχω, ἔλεγε, καὶ οὐκ ἔχομαι.* Διογ. Λαερτ. II, 75. Ritter etc. S. 212. — 5) Στρωμ. III, XVII. § 102. — 6) Στρωμ. I, XXVII. § 174. — 7) Στρωμ. III, XI. § 76. — III, XII. § 83. — 8) *Εἰ δὲ ἁμαρτία ὁ γάμος ὁ κατὰ νόμον, οὐκ οἶδα πῶς τις ἐρεῖ Θεὸν ἐγνωκέναι, λέγων τὸ πρόσταγμα τοῦ Θεοῦ ἁμαρτίαν εἶναι, ἁγίου δὲ ὄντος τοῦ νόμου, ἅγιος ὁ γάμος. τὸ μυστήριον τοίνυν εἰς τὸν Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν ἄγει ὁ Ἀπόστολος.* Στρωμ. III, XII. § 83, 84. Ἐφεσ. 5, 32.

τὴν ἀναγκαιότητα καὶ χρησιμότητα αὐτοῦ λίαν σοφῶς καταδεικνύς [1]).

Τῷ ὀρθῷ τῆς ἐγκρατείας στοιχῶν κανόνι, τὴν λογικὴν τῶν ἀγαθῶν τοῦ βίου συνίστησι χρῆσιν, οὐχὶ κτημάτων καὶ χρημάτων ἀποστῆναι, παθῶν δὲ καὶ ἀτόπων ἐπιθυμιῶν καθαρθῆναι συμβουλεύων [2]). „Πώλησον τὰ ὑπάρχοντά σου“· τί δὲ τοῦτό ἐστιν; οὐχ ἃ προχείρως δέχονταί τινες, τὴν ὑπάρχουσαν οὐσίαν ἀποῤῥῖψαι προστάσσει καὶ ἀποστῆναι ἀπὸ τῶν χρημάτων, ἀλλὰ τὰ δόγματα περὶ χρημάτων ἐξορίσαι τῆς ψυχῆς, τὴν περὶ αὐτὰ πτοίαν καὶ νόσον, τὰς μερίμνας, τὰς ἀκάνθας τοῦ βίου, αἳ τὸ σπέρμα τῆς ζωῆς συμπνίγουσι“ [3]). Τὴν περὶ γάμου καὶ χρήσεως τῶν ἀγαθῶν τοῦ βίου διδασκαλίαν τοῦ Κλήμεντος σοφωτάτην ὀνομάζει Reuter [4]), ἔξοχον δέ τινα θέσιν ἐν τῇ σειρᾷ πάντων τῶν ἐκκλησιαστικῶν συγγραφέων ἀποδίδωσιν αὐτῷ Funk, τὴν ἀμφιλαφῆ τοῦ Κλήμεντος παίδευσιν καὶ τὴν ἐλευθερίαν καὶ ἀμεροληψίαν τοῦ πνεύματος αὐτοῦ ἐν τῇ ἐξετάσει καὶ λύσει τῶν ζητημάτων τούτων καθορῶν [5]). Κλήμης γὰρ

1) Στρωμ. II, XXIII. § 137—146. — πρβλ. ὁλόκληρον τὸ Γ'. βιβλίον τῶν Στρωματέων. — 2) Οὐ χρή . . . παραχρῆσθαι τοῖς τοῦ πατρὸς δωρήμασι, χρῆσθαι δὲ αὐτοῖς ὡς ἄρχοντας ἀπροσκλινῶς· καὶ γὰρ βασιλεύειν ἐτάχθημεν καὶ κατακυριεύειν, οὐχὶ δουλεύειν τοῖς βρώμασι . . . μὴ γὰρ ἀφαιροῦμεν τὴν συμπεριφοράν, ἀλλὰ τὸν ὄλισθον τῆς συνηθείας, ὡς συμφοράν, ὑποπτεύομεν. Παιδ. II, I. § 9. πρβλ. Τίς ὁ σωζ. πλ. § 14. — 3) Τίς ὁ σωζ. πλ. § 11. — 4) Qua de causa non abstinendum esse a rebus φυσικαῖς, sed ita iis utendum, ut imperemus, sapientissime docet (Clemens). Quae sapientia perspicitur praecipue in iis, quae disseruit de matrimonii dignitate. . . . Non facile quis inveniatur Ecclesiae catholicae pater, qui de eo Scripturae sacrae loco (h. e. ὕπαγε, ὅσα ἔχεις πώλησον κτλ. Μαρκ. 10, 17—31) tam sanum, quam Clemens Alexandrinus judicium elocutus sit: neque enim abdicandum docet illorum usu ei, qui vitae aeternae haeres fieri velit, sed sanandas et comprimendas cupiditates, extinquenda studia desideriorum, quae externorum bonorum fruitione satientur. Reuter p. 35—36. — 5) Clemens hat sich dieser Aufgabe (d. h. der

τοὺς τῆς ἀληθείας μαργαρίτας πανταχόθεν περισυλλέγει, κἂν παρὰ τοῖς Ἐθνικοῖς καὶ αἱρετικοῖς τούτους εὕρῃ, ἐφαρμόζων αὐτός, ὃ περὶ τοῦ γεωργοῦ καὶ τεχνίτου λέγει, „γεωργοῦ μὲν οὖν ἴδιον τὸ ἐν ἀκάνθαις φυόμενον ῥόδον ἀβλαβῶς λαβεῖν, καὶ τεχνίτου τὸν ἐν ὀστρείῳ σαρκὶ κατορωρυγμένον μαργαρίτην ἐξευρεῖν“ 1). Ὁρίζεται δὲ Κλήμης τὴν ἐγκράτειαν οὕτως, „ἐγκράτειά ἐστιν ἀργυρίου καταφρονεῖν, τρυφῆς, κτήσεως, θέας καταμεγαλοφρονεῖν, στόματος κρατεῖν, κυριεύειν λογισμῷ τῶν πονηρῶν, οὐ γὰρ περὶ ἕν τι εἶδος τὴν ἐγκράτειαν συνορᾶν προσήκει, τοῦτ' ἔστι τὰ ἀφροδίσια“ 2).

Begründung der Zulässigkeit und Heiligkeit der Ehe und der Rechtmässigkeit des Eigenthums) unterzogen und sich dadurch eine Stellung erworben, die ihn nach einer Seite hin vor allen anderen Kirchenschriftstellern auszeichnet . . . Clemens legt auch hier eine Probe ab von der universellen Bildung wie von der Freiheit und Unbefangenheit seines Geistes, vermöge deren er stets und überall das Gute und Wahre schätzte und würdigte, selbst wenn es sich bei den Gegnern vorfand, die er eben bekämpfte. (Theol. Quartalschrift Jahrg. 53, 1871. S. 432—433. Funk, Clemens von Alexandrien über Familie und Eigenthum).

1) Στρωμ. II, I. § 3. — 2) Στρωμ. III, VII. § 59. πρβλ. ὁλόκληρον τὸ χρυσοῦν ὄντως βιβλίον τοῦ Κλήμεντος „τίς ὁ σωζόμενος πλούσιος“, ἔνθα ὀρθότατα πραγματεύεται περί τε ἐγκρατείας καὶ χριστιανικοῦ φρονήματος καὶ χρήσεως πλούτου καὶ καθόλου τῆς τοῦ Χριστιανοῦ πρὸς πάντα τὰ ἐν τῷ κόσμῳ σχέσεως. Merk p. 64. — Herzog und Plitt, Real-Encyklopädie für protest. Theologie und Kirche, S. 274 ἐν ἄρθρῳ Clemens von Alexandrien. Mit ungemeiner Energie wendet sich Clemens den sittlichen Aufgaben des Christenthums zu. Er liebt es, gerade von dieser Seite die eigenthümliche Hoheit desselben darzustellen, und es spricht sich in seinen Schilderungen und Mahnungen ein Triumph über die Macht der Welt aus, welcher aus eigenem Erlebnisse hervorgeht. Das sittliche Ideal, welches er als Ziel setzt, scheint der Asketik zu widersprechen, denn es besteht darin, zur Einheit zu gelangen, wie Gott in sich eins ist, eine Harmonie des eigenen Lebens darzustellen durch Gemeinschaft und Abbild der göttlichen Harmonie. Allein der Gegensatz gegen die Asketik ist nur

§ 2. *Συνῳδὰ τῷ ἀποστόλῳ Παύλῳ*[1] *διδάσκει ὁ Κλήμης ὅτι πᾶς ἄνθρωπος δύο ἐν ἑαυτῷ αἰσθάνεται δυνάμεων, δύο ἀρχῶν, ἀλλήλαις ἀντικειμένων καὶ ἀντιστρατευομένων. Γεννώμεθα μὲν φύσει πρὸς ἀρετὴν ἐπιτήδειοι καὶ πρὸς ἀρετῆς κτῆσιν πεφύκαμεν*[2]*, ὑποκείμεθα μέντοι τοῖς πάθεσι*[3]*· καὶ τὸ μὲν πρὸς τὸ κακὸν κλῖνον χαρακτηρίζεται ὑπ' αὐτοῦ ὡς σωματικὴ ψυχή, πνεῦμα ἄλογον, σαρκικὸν καὶ σωματικόν, τὸ δὲ πρὸς τὸ ἀγαθὸν τεῖνον ὡς νόμος τοῦ νοός, νοῦς, λογικὴ ψυχή, τὸ ἡγεμονικόν· τὸ μὲν σῶμα σπεύδει εἰς τὴν γῆν, ἡ δὲ ψυχὴ τέταται πρὸς τὸν Θεόν*[4]. *Ταῦτα δὲ λέγει οὐχὶ τὸ σῶμα διαβάλλων ὁ τοὺς τῆς πλάσεως κατατρέχοντας καὶ κακίζοντας τὸ σῶμα ὡς ἀλόγους παριστάς*[5]*, ἀλλὰ τὰ τοῦ ἀποστόλου ῥήματα ἑρμηνεύων, „ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα ἐπιθυμεῖ κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις“*[6]. *Ὁ τοίνυν γνῶσιν καὶ ἀρετὴν ὡς οἷόν τε τελείαν κτήσασθαι βουλόμενος ὑπωπιάζει κατὰ τὸν ἀπόστολον τὸ σῶμα καὶ δουλαγωγεῖ, ἀγωνίζεται κρατερῶς κατὰ τῶν παθῶν, ἀντιτάσσεται ταῖς ἀτόποις ἐπιθυμίαις, νεκροῖ τὸ σῶμα τῆς ἁμαρτίας καὶ οὕτω κατέχων τὰς παρὰ τὸν ὀρθὸν λόγον ὁρμὰς ἢ μᾶλλον εἰπεῖν κατέχων ἑαυτὸν ὥστε μὴ ὁρμᾶν*

scheinbar. Der Gesichtspunkt ist weder hier, noch überhaupt auf eine Durchdringung der Sinnlichkeit mit höherem Leben gerichtet, sondern auf Befreiung des Geistes von ihr und auf Unterdrückung derselben.

1) *Ρωμ.* 7, 14—25. — 2) *Στρωμ.* VI, XI. § 95, XII. § 96. *πρβλ. Ἀριστ. Ἠθ. Νικομ.* II. 1. *οὔτ' ἄρα φύσει, οὔτε παρὰ φύσιν ἐγγίγνονται αἱ ἀρεταί, ἀλλὰ πεφυκόσι μὲν ἡμῖν δέξασθαι αὐτάς, τελειουμένους διὰ τοῦ ἔθους.* — 3) *Ἡ ἡμετέρα φύσις ἐμπαθὴς οὖσα ἐγκρατείας δεῖται. Στρωμ.* II, XVIII. § 81. — 4) *Στρωμ.* VI, XVI. § 134—136. — IV, III. § 9. — 5) *Στρωμ.* IV, XXVI. § 165. *Τί δέ; οὐχὶ ὁ Σωτὴρ ὥσπερ τὴν ψυχήν, οὕτω δὲ καὶ τὸ σῶμα ἰᾶτο τῶν παθῶν; οὐκ ἂν δέ, εἰ ἐχθρὰ ἡ σὰρξ ἦν τῆς ψυχῆς, ἐπετείχιζεν αὐτῇ τὴν ἔχθραν δι' ὑγιείας ἐπισκιάζων. Στρωμ.* III, XVII. § 104. — 6) *Γαλ.* 5, 17. *πρβλ. Ρωμ.* 8, 5—9.

παρὰ τὸν ὀρθὸν λόγον, σπεύδει ἀεὶ πρὸς τὸ τελειότερον, πρῶτον μὲν πρὸς τὴν μετριοπάθειαν, εἶτα τὴν ἀπάθειαν, κατάστασιν σταθερὰν τῆς τοῦ γνωστικοῦ ψυχῆς, καθαρευούσης μὲν ὡς οἷόν τε παθῶν καὶ ἐπιθυμιῶν, μόνῃ δὲ τῇ πρὸς τὸν Θεὸν ἀγάπῃ κινουμένης εἰς τὸ λατρεύειν Θεῷ ζῶντι [1]. Ἡ ἀπάθεια ἄρα ἐστὶ τὸ ἄκρον ἄωτον τῆς χριστιανικῆς τελειότητος, τὸ κύριον γνώρισμα τοῦ γνωστικοῦ παρὰ τῷ Κλήμεντι, ὡς ἦν τοῦ σοφοῦ παρὰ τοῖς Στωϊκοῖς· „ἐξαιρετέον ἄρα τὸν γνωστικὸν ἡμῖν καὶ τέλειον ἀπὸ παντὸς ψυχικοῦ πάθους· ἡ μὲν γὰρ γνῶσις συνάσκησιν, ἡ συνάσκησις δ' ἕξιν ἢ διάθεσιν· ἡ κατάστασις δὲ ἡ τοιαύτη ἀπάθειαν ἐργάζεται, οὐ μετριοπάθειαν, ἀπάθειαν δὲ καρποῦται παντελὴς τῆς ἐπιθυμίας ἀποκοπή“ [2]. Ἡ κατάστασις αὕτη τῆς ἀπαθείας προϋποτίθησι νέκρωσιν τοῦ ἐμπαθοῦς παλαιοῦ ἀνθρώπου· διὸ ταύτην καλεῖ λογικὸν θάνατον, ἀπὸ τῶν παθῶν ἐπείγοντα καὶ χωρίζοντα τὴν ψυχὴν διὰ τοῦ τιθασσεύειν αὐτά [3]· τῷ τοιούτῳ γνωστικῷ τέθνηκεν ἡ σάρξ, ζῇ δὲ αὐτὸς μόνος, ἀφιερώσας τὸν τάφον εἰς ναὸν ἅγιον Κυρίῳ [4], κατὰ τὸ ἀποστολικὸν „νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς“ [5]. Οὕτως ὁ γνωστικὸς τὰ κύματα τῶν παθῶν κατευνάσας καὶ τὰ κέντρα τῶν ἀτόπων ἐπιθυμιῶν ἀπαμβλύνας, ἀξιοῦται τῆς τοῦ Θεοῦ κοινωνίας καὶ τῆς πρὸς αὐτὸν ὁμοιώσεως, ἣ τὸ ἔσχατον τέλος αὐτῷ καὶ

1) Στρωμ. II, XVIII. § 80. — *Ὁ τοίνυν μετριοπαθήσας τὰ πρῶτα καὶ εἰς ἀπάθειαν μελετήσας αὐξήσας τε εἰς εὐποιΐαν γνωστικῆς τελειότητος ἰσάγγελος μὲν ἐνταῦθα, φωτεινὸς δὲ ἤδη καὶ ὡς ὁ ἥλιος λάμπων κατὰ τὴν εὐεργεσίαν σπεύδει τῇ γνώσει τῇ δικαίᾳ δι' ἀγάπης Θεοῦ ἐπὶ τὴν ἁγίαν μονὴν καθάπερ οἱ Ἀπόστολοι.* Στρωμ. VI, XIII. § 105. *Οἱ ἐν σώματι ἔτι ὄντες, καθάπερ οἱ παλαιοὶ δίκαιοι ἀπάθειαν ψυχῆς καὶ ἀταραξίαν καρπούμενοι.* Στρωμ. IV, VII. § 56 Ἑβρ 9, 14. — 2) Στρωμ. VI, IV. § 74. — 3) VII, XII. § 71. — *Τὸν ἀντιστρατηγοῦντα νόμον τῷ φρονήματι τοῦ νοῦ ἡμῶν, τοῦ θυμοῦ τὰς ἀπειλὰς καὶ τῆς ἐπιθυμίας τὰ δελέατα, τά τε ἄλλα πάθη ὅσα πολεμεῖ τὸν λογισμὸν τιθασσεύσαντες καὶ ἐξηρεμώσαντες.* Στρωμ. IV, VI. § 40. — 4) Στρωμ. IV, XXII. § 139. — 5) *Κολοσ.* 3, 5. *πρβλ. Ρωμ.* 6, 13. — 7, 24. — *Ἐφεσ.* 5, 4. *Κολ.* 3, 1—5. — *Γαλ.* 2, 20—21.

ἡ ὑψίστη τελειότης ἐστίν. Ἐν μὲν τῇ θεωρίᾳ ἐλεύθερος ὢν παντὸς ἐμπαθοῦς ταράχου, ἀοχλήτως χωρεῖ πρὸς τὴν πηγὴν τῆς ἀληθείας, τὸν πατέρα τῶν φώτων, τὸν Θεόν, καὶ τῇ καθαρᾷ μετὰ τοῦ θείου ὁμιλίᾳ ἀείποτε τελειότερος καθίσταται τῇ γνώσει, ἣ τελευτῶσα ἕξις αὐτῷ γίγνεται, ὡς μηκέτι αὐτὸν ἐπιστήμην ἔχειν καὶ γνῶσιν κεκτῆσθαι, ἐπιστήμην δὲ εἶναι καὶ γνῶσιν [1]· ἐν δὲ τῷ πρακτικῷ βίῳ, ἔτι ὢν ἐν σώματι, τὴν θείαν ἀναπαρίστησιν ἀπάθειαν· ὁ γὰρ Θεὸς κατὰ Κλήμεντα εἰπεῖν ἀπαθὴς ἄθυμός τε καὶ ἀνεπιθύμητός ἐστι [2]· καὶ τὴν τοῦ Κυρίου ἐνδείκνυται ἀρετὴν καὶ τελειότητα, ὃς ἅπαξ ἁπλῶς ἀπαθὴς ἦν, ἀπηλλαγμένος δῆλον ὅτι τῶν λεγομένων διαβλητῶν παθῶν [3]). Οὗτος οὐ μόνων τῶν κακῶν ἀπέχει, ὅπερ ἐπιβάθρα μεγίστης προκοπῆς ἐστιν, ἀλλὰ καὶ τὸ ἀγαθὸν ποιεῖ οὐ διὰ φόβον ἢ δι' ἐλπίδα ἢ ἄλλο τι ἰδιοτελὲς ἐλατήριον, ἀλλὰ δι' αὐτὸ τὸ ἀγαθὸν καὶ δὴ διὰ τὴν πρὸς τὸν Θεὸν ἀγάπην, ὁδηγῷ καὶ λύχνῳ χρώμενος τῇ τοῦ Σωτῆρος διδασκαλίᾳ, ἣ αὐτοτελὴς καὶ ἀπροσδεὴς τυγχάνει, δύναμις οὖσα καὶ σοφία Θεοῦ [4]). Οὕτως ἔχων, οὐδέποτε τὸ ἡδὺ πρὸ τοῦ ἀγαθοῦ αἱρεῖται, ἀήττητος ἡδονῇ γενόμενος καὶ τῶν ἀλόγων ἐπιθυμιῶν κύριος· πειρασμῶν γενναίως ἀνέχεται, παντὸς δεινοῦ κατεξαν-

1) Στρωμ. IV, VI. § 40. — 2) Στρωμ. IV, XXIII. § 153. — 3) Στρωμ. VI, XI. § 71. — *Κατὰ τὸν* Dähne *ὁ Κλήμης οὐ μόνον τῶν διαβλητῶν ἀλλὰ καὶ τῶν ἀδιαβλήτων παθῶν ἀπηλλαγμένον τὸν Κύριον εἶναι, ἐντεῦθεν καὶ τὴν αὐτοῦ σάρκωσιν δοκητικῶς γεγονέναι διδάσκει.* (Dähne de *Γνώσει* Clementis Alexandrini p. 105). *Καθ' ἡμᾶς τὸ τοιοῦτον οὐ συνᾴδει ταῖς ῥηταῖς μαρτυρίαις τοῦ Κλήμεντος· πρῶτον μὲν γὰρ οὗτος προσπολεμεῖ τοῖς Δοκήταις καὶ τούτους τοῖς αἱρετικοῖς συναριθμεῖ.* Στρωμ. VI, IX. § 71. — VII, XVII. § 106—108. *ἔπειτα πανταχοῦ κηρύττει τὴν τελείαν θεότητα καὶ τελείαν ἀνθρωπότητα τοῦ Κυρίου· „σαρκοφόρος ὁ Λόγος·* Στρωμ. V, VI. § 34. *Αὐτὸς οὗτος ὁ Λόγος, ὁ μόνος ἄμφω, Θεός τε καὶ ἄνθρωπος·* Προτρ. I. § 7. *Πίστευσον, ἄνθρωπε, ἀνθρώπῳ καὶ Θεῷ· πίστευσον, ἄνθρωπε, τῷ παθόντι καὶ προσκυνουμένῳ Θεῷ ζῶντι· πιστεύσατε οἱ δοῦλοι τῷ νεκρῷ.* Προτρ. X. § 106. — *πρβλ.* Στρωμ. V, III. § 16. — VII, II. § 6—8. — 4) Στρωμ. IV, VI. § 29. — IV, XXII. § 137. — I, XX. § 100.

ίσταται, κἂν νόσος κἂν ὁτιοῦν λυπηρὸν κἂν ὁ φοβερώτατος θάνατος ἐπίῃ, ἄτρεπτος μένει κατὰ τὴν ψυχήν, τὴν ἀγαθὴν πρόνοιαν πανταχοῦ καθορῶν, τῇ πίστει τεθωρακισμένος, ᾗ κατακολουθοῦσι πισταὶ ἐνέργειαι, καὶ τῇ ἀγάπῃ κεντούμενος, ἣ κατὰ Κλήμεντα ἁγιωτάτη καὶ κυριωτάτη πάσης ἐπιστήμης αἰτία ἐστί[1]· συνελόντι δ' εἰπεῖν, ἀεὶ κατορθοῖ ἐν πᾶσι πάντως, καὶ ἐν λόγῳ καὶ ἐν πράξει καὶ ἐν αὐτῇ τῇ ἐννοίᾳ[2]· οἷος ὁ λόγος, τοιοῦτος καὶ ὁ βίος αὐτοῦ· αἵ τε γὰρ κρίσεις καὶ τὰ δόγματα, αἵ τε προθέσεις καὶ οἱ λόγοι, ὅ τε βίος καὶ ὁ τρόπος ἀκόλουθοι τῷ Λόγῳ εἰσίν[3]· ὥστε ἡ ἀρετὴ οὐκέτι ξένον τί ἐστιν αὐτῷ, ἀλλ' οἰκεῖον καὶ σύνηθες καὶ οἷον δευτέρα καθίσταται φύσις· „φυσιοῦται ἡ ἕξις"[4].

§ 3. Ἀλλ' ἡ τοῖς ἀποστόλοις καὶ δικαίοις καὶ πᾶσιν ἅπαξ ἁπλῶς τοῖς γνωστικοῖς προσγραφομένη ὑπὸ τοῦ Κλήμεντος ἀπάθειά ἐστιν ἡ αὐτὴ καὶ ἡ τοῦ Κυρίου καὶ ἑπομένως τελεία ἀναμαρτησία; τοῦτο ἤδη ἐξεταστέον· ὁ μὲν Λόγος, φησὶ Κλήμης, ἐστὶν ἀναμάρτητος μόνος καὶ εἰς τὸ παντελὲς ἀνθρωπίνων παθῶν ἀπόλυτος, καὶ τὸ ἀναμάρτητον ἴδιον Θεοῦ· „ἄριστον μὲν τὸ μηδ' ὅλως ἐξαμαρτάνειν

1) Στρωμ. VII, XI. § 60—68. πρβλ. Reuter p. 25. — 2) Στρωμ. VII, IX. § 54. Καὶ οἱ ἀπὸ τῆς Στωᾶς ἐδίδασκον κατὰ Πλούταρχον περὶ πάντα κατορθοῦν τὸν ἀστεῖον. (Πλουτ. πῶς δεῖ τὸν νέον ποιημ. ἀκούειν. 71, 25). — 3) Στρωμ. II, XVII. § 77. — 4) Ἐν ἕξει γέγονεν ἀπαθείας, σχῆμα θεῖον ἐπενδύσασθαι ἀναμένων. Στρωμ. IV, XXII. § 140. ἕξιν θεωρίας τε καὶ ἐγκρατείας. IV, III. § 8. — VII, VII. § 46 πρβλ. Cognat p. 284—287. — Ἡ λέξις ἕξις, εὔχρηστος οὖσα παρ' Ἀριστοτέλει (Ἠθ. Νικ. 114. 1105ᵇ. 19), παρελήφθη ὑπὸ τῶν Στωϊκῶν, διαφέρει δὲ τῆς διαθέσεως, „καὶ γὰρ τὰς μὲν ἕξεις ἐπιτείνεσθαί φασι καὶ ἀνίεσθαι, τὰς δὲ διαθέσεις ἀνεπιτάτους εἶναι καὶ ἀνανέτους". Σιμπλ. Ἀριστ. σχολ. p. 70ᵇ. — Οἱ χαρακτῆρες τοῦ γνωστικοῦ εἰσι διεσπαρμένοι ἐν πᾶσι τοῖς συγγράμμασι τοῦ Κλήμεντος καὶ ἰδίᾳ ἐν Στρωματεῦσι, σχεδὸν ἐν πάσῃ σελίδι· ἐν ἐπιτομῇ συνημμένοι εὑρίσκονται ἐν Στρωμ. VII. XI—XIII. · τὰ τρία ταῦτα κεφάλαια μεταφράζων ὁ Cognat, χαρακτηρίζει ὡς admirable portrait du gnostique ... sublime langage, exprimant des choses plus sublimes encore. p. 231, 232.

κατὰ μηδένα τρόπον, ὅ δή φαμεν εἶναι Θεοῦ“, ἡμεῖς δὲ ὅση δύναμις ὡς ἐλάχιστα ἁμαρτάνειν πειρώμεθα[1])· ἐμπαθοῦς γὰρ ὄντες φύσεως καὶ ἐπίκηροι τυγχάνοντες, πάντες ἔμφυτον καὶ κοινὸν τὸ ἐξαμαρτάνειν ἔχομεν[2]). Ἀλλαχοῦ φαίνεται Κλήμης τῷ γνωστικῷ ἀναπόβλητόν τινα ἀρετὴν ἀποδιδόναι καὶ εἶδος ἀναμαρτησίας, ἣν πρότερον ἔφη ἴδιον μόνον τοῦ Θεοῦ καὶ τοῦ Λόγου εἶναι[3]). Τῇ μὲν προνοίᾳ καὶ εὐλαβείᾳ καταντᾷ ὁ γνωστικὸς εἰς τὸ μὴ ἁμαρτάνειν, τῇ δ᾽ εὐλογιστίᾳ ἀναπόβλητον κατέχει τὴν ἀρετήν· „μέγιστον ἄρα ἡ γνῶσις τοῦ Θεοῦ· διὸ καὶ ταύτῃ σώζεται τὸ ἀναπόβλητον τῆς ἀρετῆς“. Ἡ γνῶσίς ἐστι τὸ μέγιστον· ἐξ αὐτῆς γὰρ ἥ τε εὐλογιστία καὶ ἡ πρόνοια καὶ ἡ εὐλάβεια, ἃ ὁ γνωστικὸς κέκτηται, ἐφ᾽ ὅσον ἐστὶ γνωστικός, καὶ δὴ οὐκ ἀκουσίως, ἀλλ᾽ ἑκουσίως[4]). Ἡ ἕξις αὕτη τῆς ἀρετῆς, ἀπόρροια οὖσα τῆς βαθείας γνώσεως τῆς πίστεως καὶ τῇ πρακτικῇ ἀσκήσει κτηθεῖσα, οὐκ ἔστιν ἁπλῆ τις, ἀμφίβολος, ἀσταθὴς καὶ εὐμετάβλητος κλίσις, οἵα ἐν τοῖς νεοφύτοις[5])· ταύτῃ συγκρινομένη, σταθερὰ καὶ μόνιμός ἐστι· καὶ τοῦτο δὴ ἀποτελεῖ τὸν ἰδιάζοντα χαρακτῆρα

---

1) *Παιδ.* I, II § 4. — 2) *Μόνος ἀναμάρτητος αὐτὸς ὁ Λόγος. τὸ μὲν γὰρ ἐξαμαρτάνειν πᾶσιν ἔμφυτον καὶ κοινόν, ἀναδραμεῖν δὲ τὴν ἁμαρτίαν οὐ τοῦ τυχόντος ἀνδρός, ἀλλὰ ἀξιολόγου. Παιδ.* III, XII. § 92. — 3) *Τῷ ἄρα ἀναπόβλητον τὴν ἀρετὴν ἀσκήσει γνωστικῇ πεποιημένῳ φυσιοῦται ἡ ἕξις, καὶ καθάπερ τῷ λίθῳ τὸ βάρος, οὕτω τοῦδε ἡ ἐπιστήμη ἀναπόβλητος οὐκ ἀκουσίως, ἀλλ᾽ ἑκουσίως, δυνάμει λογικῇ καὶ γνωστικῇ καὶ προνοητικῇ καθίσταται. Στρωμ.* VII, VII, § 46. — 4) *Στρωμ.* VII, VII. § 47. *πρβλ.* IV, XXII. § 141. *εἴ γε ἀγαπᾶν μεμάθηκε τὸν Θεόν, οὐχ ἕξει τὴν ἀρετὴν ἀπόβλητον οὗτος οὐδαμῶς. — Ὅτῳ δὴ ἡ ἐπίτασις τῆς δικαιοσύνης εἰς ἀγαθοποιΐαν ἐπιδέδωκε, τούτῳ ἡ τελείωσις ἐν ἀμεταβόλῳ ἕξει εὐποιΐας καθ᾽ ὁμοίωσιν τοῦ Θεοῦ διαμένει. Στρωμ.* VI, VII. § 60. — *ἀδιάπτωτος Στρωμ.* II, XX. § 120. *Παιδ.* I, XIII. § 102. — *ἄπτωτος* VII, VII. § 46. — *πρβλ. Διογ. Λαερτ.* VII. 127. *Καὶ μὴν τὴν ἀρετὴν Χρύσιππος μὲν ἀποβλητήν, Κλεάνθης δὲ ἀναπόβλητον διὰ βεβαίους καταλήψεις. — Καὶ ὁ σοφὸς παρὰ τοῖς Στωϊκοῖς ἐστιν ἀπαράπτωτος, ἀναμάρτητος. Διογ. Λαερτ.* VII. 117. — VII. 47. — 5) *Ἐν τροπῇ τῇ συνεχεῖ, καὶ διὰ τοῦτο ἀστάτου τοῦ ἡγεμονικοῦ γινομένου, ἡ ἑκτικὴ δύναμις οὐ σώζεται. Στρωμ.* VI, IX. § 78.

τῆς γνωστικῆς ἀρετῆς. Ἀλλ᾽ ἡ ἕξις αὕτη καὶ διάθεσις, ἅπαξ προσληφθεῖσα καὶ οἱονεὶ δευτέρα γενομένη φύσις, ἐστὶ τοῦ λοιποῦ ἀναπόβλητος καὶ τὸν ταύτην κεκτημένον ἐς ἀεὶ ἄπτωτον καθίστησιν; Οὐχί· καὶ τὸν εἰς ἄκρον ἀρετῆς ἐληλακότα καὶ οἷον τὴν κορυφὴν τῆς τῷ ἀνθρώπῳ δυνατῆς τελειότητος κατειληφότα οἷόν τέ ἐστι πεσεῖν, διὸ καὶ ὁ τοιοῦτος τὸ μὲν παρακαλεῖ τὸν Θεόν, τὴν ἐν τῇ ἀρετῇ ἐμμονὴν ἐξαιτούμενος, τὸ δὲ καὐτὸς ἀγωνίζεται καὶ συνεργεῖ πάσῃ δυνάμει, προνοίᾳ εὐλαβείᾳ καὶ εὐλογιστίᾳ, ἐνθυμούμενος τὸ τοῦ ἀποστόλου „ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ", εἰδὼς ὅτι καὶ ἄγγελοι ῥαθυμήσαντες ὤλισθον καὶ χαμαὶ ἔπεσον· „κορυφαῖος δ᾽ ἤδη ὁ γνωστικὸς θεωρίαν εὔχεται αὔξειν τε καὶ παραμένειν . . . ναὶ μὴν μηδὲ ἀποπεσεῖν ποτε τῆς ἀρετῆς αἰτήσεται συνεργῶν μάλιστα πρὸς τὸ ἄπτωτος διαγενέσθαι"[1]). Τοὺς λόγους τούτοις τοῦ Κλήμεντος ἐξηγούμενος ὁ Bossuet λέγει „voilà donc, de quelle manière le gnostique ne peut dechoir et comment sa vertu est inamissible, parce qu'il fait tout ce qu'il faut pour la rendre telle, car il prie et demande à Dieu d'être bon; et non content de prier et de laisser ensuite tout faire à Dieu, il s'aide lui même"[2]).

§ 4. Ὁ Κλήμης βούλεται μὲν δεῖξαι τοῖς Ἐθνικοῖς, οὓς ἐπιστρέψαι εἰς Χριστὸν προτίθεται καὶ ἀγωνίζεται, γνωστικὸν ἀνώτερον καὶ τελειότερον τοῦ παρὰ τοῖς Στωϊκοῖς ἐν ἀφῃρημένῃ εἰκόνι παρισταμένου σοφοῦ, καὶ τούτων ταῖς ἐκφράσεσι συχνάκις χρῆται, οὐ μέντοι γε πρὸς τὴν ἀνθρωπίνην ἀδυναμίαν καὶ ἀτέλειαν ἀμβλυωπεῖ. Ἐντεῦθεν ὀρθῶς, ὡς ἐμοὶ δοκεῖ, σημειοῦται ὁ Potterus ὅτι οἱ Πατέρες τῆς Ἐκκλησίας ἐν εὐρυτέρᾳ σημασίᾳ εἰώθασι χρῆσθαι

---

1) Στρωμ. VII, VII. § 46. — Τῇ κτήσει τοίνυν ὁ γνωστικὸς τὴν εὐχὴν καὶ τὴν αἴτησιν τῶν ὄντως ἀγαθῶν τῶν περὶ ψυχὴν ποιεῖται καὶ εὔχεται συνεργῶν ἅμα καὶ αὐτὸς εἰς ἕξιν ἀγαθότητος ἐλθεῖν. Στρωμ. VII, VII. § 37. — 2) Bossuet, Tradition des nouveaux mystiques ch. VI. sect. 6.

τοῖς ὅροις ἀπάθεια καὶ ἀναμαρτησία, βουλόμενοι τοιαύτην τινὰ εἰρηνικὴν τῆς ψυχῆς κατάστασιν δηλῶσαι, ἐν ᾗ ἐν ἕξει ἀρετῆς οὖσα, οὐκέτι εἰς τὸ κακὸν βιαίως ἐλαύνεται οὐδὲ βαρείαις ὑποκύπτει ἁμαρτίαις [1]). Ὅτι τοιαύτην τινὰ ἀπάθειαν τοῖς ἀποστόλοις καὶ τελείοις γνωστικοῖς ἀπονέμει ὁ Κλήμης, δῆλον γίγνεται οὐχὶ ἔκ τινων μεμονωμένων ἐκφράσεων καὶ χωρίων, ἀλλ' ἐκ τοῦ συνόλου τῆς διδασκαλίας αὐτοῦ· πρῶτον μὲν γὰρ μόνον τὸν Λόγον ἀναμάρτητον παρρησίᾳ κηρύττει, εἶτα οὐχ ἧττον σαφῶς ἐμπαθῆ κατ' οὐσίαν τὸν ἄνθρωπον διδάσκει εἶναι καὶ τὸ ἐξαμαρτάνειν πᾶσιν ἔμφυτον καὶ κοινόν. Ἡ ἀπάθεια ἄρα καὶ τὸ ἀναμάρτητον οὐκ ἔστι φυσικὴ κατάστασις, ἀλλ' ἐπίκτητος ἕξις· τούτου ἕνεκεν συχνάκις διδάσκει Κλήμης ὅτι οὐ φύσει τὴν ἀρετὴν γεννώμεθα ἔχοντες, καίπερ ἐπιτήδειοι πεφυκότες πρὸς τὴν ταύτης κτῆσιν [2]), ὁ δὲ γνωστικὸς ἑαυτὸν κτίζει καὶ δημιουργεῖ [3]), ἢ μᾶλλον ὑπ' αὐτοῦ τοῦ τεχνίτου, τοῦ Λόγου, κτίζεται καὶ τέλειος γίγνεται [4]). Βελτιοῦται μὲν καθ' ἑκάστην ὁ γνωστικὸς καὶ εἰς ἕξιν ἀπαθείας ἐπεκτείνεται, πλὴν οὐδεὶς κατὰ πάντα τέλειος γίγνεται [5]). Ἀλλαχοῦ πάλιν μέμφεται Κλήμης τοῖς Στωϊκοῖς ὡς ἀθέως πάνυ δογματίσασι τὴν αὐτὴν ἀρετὴν ἀνθρώπου καὶ Θεοῦ εἶναι, λέγων ὅτι κεκλήμεθα μὲν ὅση δύναμις ὁμοιωθῆναι τῷ Θεῷ, οὐδέποτε δὲ τῆς

1) „Ἀπάθειά ἐστιν εἰρηνικὴ κατάστασις ψυχῆς, καθ' ἣν δυσκίνητος γίνεται ψυχὴ πρὸς κακίαν" (Μαξιμῖνος περὶ ἀγάπης I. 36) δυσκίνητος, σημειοῦται ὁ Potterus, καὶ οὐχὶ ἀκίνητος. σελ. 99. σημ. 4. Clem. Alex. opera quae exstant, recognita et illustrata per Joh. Potterum. episc. Oxoniensem, Oxonii. 1715. — πρβλ. Cognat p. 321—322. — 2) Στρωμ. VII, III. § 19 — Ἡ ἐπιτηδειότης φορὰ μέν ἐστι πρὸς ἀρετήν, ἀρετὴ δ' οὔ· πάντες μὲν οὖν, ὡς ἔφην, πρὸς ἀρετῆς κτῆσιν πεφύκασι. Στρωμ. VI, XII. § 96. — 3) Στρωμ. VII, III. § 13. — 4) Ὁ κατ' εἰκόνα ἐκτελούμενος τοῦ Κυρίου πρὸς αὐτοῦ τοῦ τεχνίτου ἄνθρωπος τέλειος ἄξιος ἤδη ἀδελφὸς πρὸς τοῦ Κυρίου ὀνομάζεσθαι φίλος ἅμα οὗτος καὶ υἱός ἐστι. Στρωμ. III, X. § 69. — 5) Πάντα ὁμοῦ τέλειος οὐκ οἶδα εἴ τις ἀνθρώπων, ἔτι ἄνθρωπος ὤν, πλὴν μόνον ὁ δι' ἡμᾶς ἄνθρωπον ἐνδυσάμενος. Στρωμ. IV, XXI § 132. πρβλ. VII, III. § 13.

τελειότητος αὐτοῦ ἐφικέσθαι δυνησόμεθα· „ἀδύνατον γὰρ καὶ ἀμήχανον ὡς ὁ Θεός ἐστι γενέσθαι τινὰ τέλειον“ [1]). Ἐκ τῶν ἄνω εἰρημένων δῆλον γίγνεται ὅτι ἡ μὲν ἀπάθεια τοῦ Θεοῦ ἐστι φυσική, τελεία καὶ ἀπόλυτος, ἡ δὲ τοῦ γνωστικοῦ ἐστιν ἕξις, θείᾳ χάριτι καὶ προσευχῇ, μαθήσει καὶ μελέτῃ καὶ ἀσκήσει [2]) κτηθεῖσα, οὐχὶ ἀπόλυτος, ἀλλὰ σχετική· τὸ γὰρ ἀπόλυτον ἀντίκειται τῇ κατ' οὐσίαν ἐμπαθεῖ ἡμῶν φύσει. Ὁ γνωστικὸς ἀγωνίζεται καὶ βιάζεται, μιμούμενος ὡς οἷόν τε τὸν Θεόν, ὁμοιοῦσθαι τῷ διδασκάλῳ εἰς ἀπάθειαν [3])· τὸ δὲ βιάζεσθαι οὐδὲν ἕτερον δηλοῖ ἢ ὅτι ἡ τοῦ γνωστικοῦ ἀπάθεια οὐκ ἔστι τελειότης, ἧς ἤδη ἀπολέλαυκεν, ἀλλὰ διηνεκὴς ἀγών, ἵνα ταύτῃ ἐγγίσῃ· ὅθεν καὶ εἰ ὀρθότατα πολιτεύσαιτο καὶ εἰ πλείω τῶν λοιπῶν ἀνθρώπων τὴν ἀξίαν κτήσαιτο, οὐδ' οὕτω τέλειος κληθήσεται· τοῦτο γὰρ οὐ τοῦ παρόντος αἰῶνος [4]). Οὐδεὶς ἄρα τέλειος ἔτι ὢν ἐν σαρκί, ἀλλ' ἐν διηνεκεῖ ἐστιν ἐπιδόσει καὶ τάσει πρὸς τὴν ἀπόλυτον τελειότητα τὴν ἐν τῷ Θεῷ, ἧς οὐδέποτε ἐφίξεται, καὶ τὴν σχετικήν, ἣν ὁ Κλήμης ἔσχατον τέλος, ἔσχατον ὀρεκτόν, ἀΐδιον ἀνάπαυσιν ἐν τῷ Θεῷ καὶ κληρονομίαν ἀποκαλεῖ [5]), καὶ ἧς

1) Στρωμ. VII, XIV. § 88. — Ὁ Χρύσιππος ἐδίδασκεν ἀρετῇ οὐχ ὑπερέχειν τὸν Δία τοῦ Δίωνος, ὠφελεῖσθαί τε ὁμοίως ὑπ' ἀλλήλων τὸν Δία καὶ τὸν Δίωνα σοφοὺς ὄντας. Πλουτ. Στωϊκ. ἐναντ. 33, 2. Ὁ δὲ Σενέκας λέγει τῷ χρόνῳ μόνον τὸν ἀγαθὸν τοῦ Θεοῦ διαφέρειν: bonus ipse tempore tantum a Deo differt. de Provid. I. πρβλ. Zeller III, I. S. 143. Heinze I. S. 243. — 2) Στρωμ. IV, XVIII. § 112. — VII, VII. § 37. — IV, XIX. § 126. — 3) Στρωμ. VI, IX. § 72. ἐπείγεται ὁ γνωστικός. Στρωμ. VII, X. § 57. — Ὡς γὰρ τέλειόν φαμεν ἰατρὸν καὶ τέλειον φιλόσοφον, οὕτως οἶμαι καὶ τέλειον γνωστικόν, ἀλλ' οὐδὲν τούτων καί τοι μέγιστον ὂν εἰς ὁμοιότητα Θεοῦ παραλαμβάνεται . . . βούλεται δὲ ὁ πατὴρ ζῶντας ἡμᾶς κατὰ τὴν τοῦ Εὐαγγελίου ὑπακοὴν ἀνεπιλήπτως τελείους γίγνεσθαι. Στρωμ. VII, XIV. § 88. — 4) Εἰ δὲ καὶ πολιτεύσαιτο ὀρθῶς . . . μάρτυς τε ἐπὶ τοῖσδε ὀρθότατα ὁμολογήσας δι' ἀγάπην γένοιτο πλείονα τὴν ἀξίαν ὡς ἐν ἀνθρώποις λαμβάνων, οὐδ' οὕτω φθάσει τέλειος ἐν σαρκὶ κληθείς, ἐπεὶ τὴν προσηγορίαν ταύτην προείληφεν ἡ συμπεραίωσις τοῦ βίου. Στρωμ. IV, XXI. § 132. πρβλ. VII. VII, § 47. — 5) Παιδ. I, XII. § 102. Στρωμ. VI, IX. § 75. — VII, X. § 55.

ὁ γνωστικὸς οὐκ ἐν τῷ παρόντι, ἀλλ᾽ ἐν τῷ μέλλοντι ἀπολαύσει αἰῶνι· ἐνταῦθα γὰρ προδιδασκόμεθα μόνον „τὴν ἐσομένην ἡμῖν κατὰ Θεὸν μετὰ Θεῶν δίαιταν ἀπολυθέντων ἡμῶν κολάσεως καὶ τιμωρίας ἁπάσης, ἃς ἐκ τῶν ἁμαρτημάτων εἰς παιδείαν ὑπομένομεν σωτήριον, μεθ᾽ ἣν ἀπολύτρωσιν τὸ γέρας καὶ αἱ τιμαὶ τελειωθεῖσιν ἀποδίδονται πεπαυμένοις μὲν τῆς καθάρσεως, πεπαυμένοις δὲ καὶ λειτουργίας τῆς ἄλλης“ [1]).

§ 5. *Εἰ δὲ λέγει Κλήμης ὅτι ὁ γνωστικὸς οὐ χρήζει σωφροσύνης*[2]), οὐ δηλοῖ διὰ τούτου ὅτι οὗτος τὴν ἐπιθυμίαν πρόρριζα ἐξέσπασε καὶ παντάπασι τοῦ ἔνδον ἀπηλλάγη πολέμου, ἀλλ᾽ οὐ χρήζει τοιαύτης σωφροσύνης, οἵας οἱ μήπω ἐν ἕξει ἀρετῆς καὶ ἀπαθείας γενόμενοι· τῷ γὰρ γνωστικῷ οἰκεία γενομένη ἡ ἀρετή, οὐχ οὕτω χαλεπὴ καὶ βαρεῖα δοκεῖ εἶναι, ὡς τῷ μόλις αὐτῆς ἁπτομένῳ. Τοιαύτην τινὰ ἔννοιαν δοκοῦσί μοι περιέχειν καὶ οἱ τοῦ Ἡσιόδου στίχοι.

Τῆς δ᾽ ἀρετῆς ἱδρῶτα Θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ᾽ αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον, ἐπὰν δ᾽ εἰς ἄκρον ἵκηαι,
ῥηϊδίη δ᾽ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα [3]).

Ὅτι δὲ καὶ οὗτος οὐκ ἀπήλλακται τέλεον πειρασμῶν, ἀλλὰ νύττεται ὑπὸ τοῦ τῆς ἐπιθυμίας κέντρου, μαρτυρεῖ σαφῶς Κλήμης, λέγων ὅτι ὁ γνωστικός, πανταχοῦ τὸν Κύριον ὁρᾶν νομίζων, κολάζει τὸ ὁρατικόν, ὅταν ἡδομένου ἑαυτοῦ κατὰ τὴν προσβολὴν τῆς ὄψεως συναίσθηται [4])· ἔτι δὲ γενικώτερον καὶ σαφέστερον τοῦτο δηλοῦται ἐν Στρωμ. VII, XII. § 79, ἔνθα λέγεται ὅτι ὁ γνωστικὸς „καὶ τῆς

---

1) Στρωμ. VII, X. § 56. — πρβλ. VII, III. § 13. — 2) *Τίς δὲ καὶ σωφροσύνης ἀνάγκη μὴ χρήζοντι αὐτῆς; τὸ γὰρ ἔχειν τοιαύτας ἐπιθυμίας, ὡς σωφροσύνης δεῖσθαι πρὸς τὴν τούτων ἐγκράτειαν οὐδέπω καθαροῦ, ἀλλ᾽ ἐμπαθοῦς.* Στρωμ. VI, IX. § 76. — 3) Ἡσιόδ. Ἔργα καὶ ἡμέρ. στίχ. 265—268. — 4) Στρωμ. VII, XII. § 76. πρβλ. Ματθ. 5, 28—30.

σωματικῆς ψυχῆς κατεξανίσταται, στόμιον ἐμβάλλων ἀφηνιάζοντι τῷ ἀλόγῳ πνεύματι, ὅτι ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος"[1]). Εἰ δὲ πάλιν λέγει Κλήμης ὅτι ὁ γνωστικὸς φόβου καὶ θυμοῦ ἀπήλλακται, καθαρεύει θάρσους καὶ ζήλου, κρείττων ἐστὶ χαρᾶς, ἐπιθυμίας καὶ λύπης[2]), οὐ κατηγορεῖ αὐτοῦ λήθαργον καὶ ἄκραν ἀδράνειαν, ἀλλ' ἀποκλείει μόνον τὴν πρὸς τὰ ἐπίγεια προσπάθειαν, τὴν ἐπὶ τοῖς ἐπικήροις χαρὰν καὶ τὰς ἐκ τῶν ματαίων καὶ γεηρῶν ἐγγιγνομένας ἡμῖν ἐμπαθεῖς κινήσεις καὶ ταραχὰς τοῦ φόβου, τῆς ἐλπίδος καὶ τῆς ἐπιθυμίας. Τῷ ἐραστῷ γὰρ συνὼν καὶ τῆς ψυχῆς ὡς ἐν διαχύσει ἐπὶ τῇ ἀπολαύσει τῶν ἀφάτων πνευματικῶν ἀγαθῶν διατελούσης, οὐκέτι ὑπὸ τῶν τοῦ βίου δελεάζεται ἀπολαύσεων, οὐδὲ θορυβεῖται ἐπὶ τοῖς δοκοῦσι λυπηροῖς· οὐ φοβεῖται, οὐδὲν γὰρ τῶν ἐν τῷ βίῳ δεινὸν ἡγεῖται· „οὐ τὸν Θεὸν φοβεῖται, ἀλλὰ τὸ ἀποπεσεῖν τοῦ Θεοῦ· ὁ δὲ τοῦτο δεδιὼς τὸ τοῖς κακοῖς περιπεσεῖν φοβεῖται καὶ δέδιε τὰ κακά· ὁ δεδιὼς δὲ τὸ πτῶμα ἄφθαρτον ἑαυτὸν καὶ ἀπαθῆ εἶναι βούλεται"[3])· οὐκ εἰς λύπην ἐμπίπτει, πάντα καλῶς γίγνεσθαι πεπεισμένος, ἀλλὰ „χαίρει μὲν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς, γέγηθε δὲ ἐπὶ τοῖς ἐπηγγελμένοις, ὡς ἤδη παροῦσιν"[4]).

§ 6. Ἀνακεφαλαιοῦντες τὰ περὶ ἀπαθείας εἰρημένα, λέγομεν ὅτι ὁ παρὰ τῷ Κλήμεντι γνωστικὸς οὔτε τέλεον ἀπαθὴς καὶ ἑπομένως ἀναμάρτητος ἴσα τῷ Θεῷ ἐστιν, ὡς οἱ ἀπὸ τῆς Στωᾶς περὶ τοῦ ἑαυτῶν σοφοῦ ἐπρέσβευον[5]),

1) Γαλ. 5, 17. — 2) Στρωμ. VI, IX. § 71, 72. — 3) Στρωμ. II, VIII. § 40. — 4) Στρωμ. VII, VII. § 47. — 5) Cumque perturbationem animi illi ex homine non tollerent, naturaque et condolescere et extimescere et efferri laetitia dicerent, sed ea contraherent in augustumque deducerent: Zeno his omnibus quasi morbis voluit carere sapientem. Cumque eas perturbationes antiqui naturales esse dicerent et rationis expertes, aliaque in parte animi cupiditatem, alia rationem collocarent: ne his quidem assentiebatur: nam et perturbationes voluntarias esse putabat opinionisque judicio suscipi et omnium perturbationum arbitrabatur

οὔτε νοσεῖ Stuporem, ἀναισθησίαν καὶ νάρκην, ὡς ὁ Αὐγουστῖνος τὴν Στωϊκὴν ἀπάθειαν χαρακτηρίζει [1]. Ὁ γνωστικὸς τοῦ Κλήμεντος πιστεύει, θεωρεῖ, ἐλπίζει, ἀγαπᾷ, προσεύχεται, ἐργάζεται. Ἐκ τούτων ἕπεται, ὡς ἔμοιγε δοκεῖ, ὅτι τῇ λέξει μόνον συμπίπτει ἡ παρὰ τῷ Κλήμεντι ἀπάθεια τῇ τῶν Στωϊκῶν ἀπαθείᾳ καὶ τῇ τῶν Ἐπικουρείων καὶ Σκεπτικῶν ἀταραξίᾳ, οὐχὶ δὲ τῇ ἐννοίᾳ καὶ οὐσίᾳ, ὡς ἔδοξέ τισιν [2]. Ὁ μὲν γὰρ Ἐπίκουρος ἐδίδασκεν ἀρχὴν καὶ τέλος τοῦ μακαρίως ζῆν τὴν ἡδονὴν εἶναι ὡς πρῶτον ἀγαθόν· ἐντεῦθεν πᾶσα μὲν ἡδονὴ ἀγαθόν, καθάπερ καὶ ἀλγηδὼν πᾶσα κακόν· τὴν δ' ἡδονὴν εἰς δύο διῄρει εἴδη, καταστηματικὴν ἡδονὴν καὶ κατὰ κίνησιν, τὴν μὲν μερικώτερον χαρακτηρίζων ὡς ἀταραξίαν καὶ ἀπονίαν, τὴν δὲ ὡς χαρὰν καὶ εὐφροσύνην [3]. Τῇ τοῦ Ἐπικούρου

esse matrem immoderatam quandam intemperantiam. Cicer. Acad. I. 10, 39. πρβλ. Jeronymi init. Epist. ad Ctesiphontem. Zeller III, I. S. 143.

1) Ὁ Αὐγουστῖνος τὴν ἔννοιαν τῆς ἀπαθείας ὁριζόμενος, λέγει ὅτι, εἰ μὲν ἡ ἀπάθεια τὴν ψυχὴν παντελῶς ἀπηλλαγμένην παθῶν καὶ ἐπομένως ἀναμάρτητον καὶ μακαρίαν παρίστησιν, εὐκταία μέν ἐστιν, ἀλλ' οὐ τοῦ παρόντος βίου, εἰ δ' ἡ ἀπάθεια κατάστασιν ψυχῆς ἐστερημένην παντὸς αἰσθήματος δηλοῖ, τότε ἐστὶν ἀναισθησία καὶ νάρκη, πασῶν τῶν κακιῶν χείρων: Illa quae ἀπάθεια graece dicitur . . . sic intelligenda (in animo quippe non in corpore accipitur), ut sine his affectibus vivatur, quae contra rationem accidunt mentemque perturbant, bona plane, et maxime optanda est, sed nec ipsa hujus est vitae . . . Porro sic ἀπάθεια ista dicenda est, cum animum contingere omnino non potest ullus affectus, quis hunc stuporem non omnibus vitiis judicat esse pejorem? (Augustini Civitas Dei lib. XIV. c. IX). — 2) Reuter p. 23, 24. — Merk. p. 65. Clemens ist in seiner Ethik Schüler der Stoa insbesondere, aber auch der ganzen Philosophie ihrer Zeit. Denn darin ist diese, die stoische, epikureische und skeptische Schule, einig, dass der einzige Weg zur Glückseligkeit in der Gemüthsruhe bestehe; die epikureische Ataraxie ist der skeptischen und beide sind der stoischen Apathie nahe verwandt. — 3) Διογ. Λαερτ. 128, 136. Zeller III, I. S. 243—249.

φιλοσοφίᾳ οὐ φαίνεται Κλήμης εὔνους· πολλαχοῦ γὰρ αὐτοῦ ἀθεότητα καὶ ἀσέβειαν κατηγορεῖ καὶ τὴν φιλοσοφίαν αὐτοῦ ἄλογα σπέρματα καὶ νόθους τῆς Ἑλληνικῆς φιλοσοφίας ἀποκαλεῖ καρπούς[1]. Οἱ δὲ Σκεπτικοί, ἡγουμένου Πύρρωνος, ἐπρέσβευον μηδὲν τῶν ὄντων εἰδέναι τὸν ἄνθρωπον μηδὲ δύνασθαι γνῶναι· αἵ τε γὰρ αἰσθήσεις καὶ ὁ νοῦς οὐκ ἀληθεύουσιν, ἀλλὰ ψεύδονται· ὅθεν περὶ πάντων ἀμφιβάλλοντες, μηδέ ποτε δεῖν περί τινος ὁριστικὴν ἀποφαίνεσθαι γνώμην ἐδίδασκον, ἀλλὰ σιγᾶν καὶ ἐπέχειν, τῇ δ' ἀκαταληψίᾳ ταύτῃ καὶ ἀφασίᾳ καὶ ἐποχῇ σκιᾶς δίκην ἀκολουθεῖν τὴν ἀταραξίαν, τὴν μόνην πρὸς εὐδαιμονίαν ἀγαγεῖν δυναμένην[2]). Τῇ παντελεῖ ταύτῃ ἀκαταληψίᾳ καὶ σκέψει καὶ ἀπορίᾳ τῶν Ἐφεκτικῶν ἐκ διαμέτρου ἀντίκειται ἡ τοῦ Κλήμεντος γνῶσις, ἡ „αὐτὸ τοῦτο θέα τίς ἐστι τῆς ψυχῆς τῶν ὄντων ἤτοι τινὸς ἢ τινῶν, τελειωθεῖσα δὲ τῶν συμπάντων“[3]). Ὁ γνωστικὸς τοῦ Κλήμεντος „τὰ δοκοῦντα ἀκατάληπτα εἶναι τοῖς ἄλλοις αὐτὸς καταλαμβάνει, πιστεύσας ὅτι οὐδὲν ἀκατάληπτον τῷ υἱῷ τοῦ Θεοῦ, ὅθεν οὐδὲ ἀδίδακτον· ὁ γὰρ δι' ἀγάπην τὴν πρὸς ἡμᾶς παθὼν οὐδὲν ἂν ὑπεστείλατο εἰς διδασκαλίαν τῆς γνώσεως . . . οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζει, ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγιγνώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων ὁ τῆς σοφίας μαθητής“[4]). Φλυαρίαν δὲ τῶν

1) Πρὸς δὲ καὶ Ἐπικούρῳ ἀθεότητος κατάρχοντι. Στρωμ. I, I. § 1. Ἐπικούρου μὲν γὰρ μόνου καὶ ἑκὼν ἐκλήσομαι, ὃς οὐδὲν μέλειν οἴεται τῷ Θεῷ, διὰ πάντων ἀσεβῶν. Προτρ. V. § 66. Ναὶ μὴν καὶ ὁ Ἐπίκουρος ὁ μάλιστα τῆς ἀληθείας προτιμήσας τὴν ἡδονήν, οἵ τε τὴν Ἐπικούρου ἀθεότητα καὶ τὴν ἡδονὴν καὶ ὅσα ἄλλα παρὰ τὸν ὀρθὸν λόγον ἐπέσπαρται τῇ Ἑλληνικῇ φιλοσοφίᾳ κηρύττοντες νόθοι τῆς θεόθεν δωρηθείσης γεωργίας τοῖς Ἕλλησιν ὑπάρχουσι καρποί. Στρωμ. VI, VIII. § 67. — Πῶς οὖν, οὕτως ἔχων ὁ Κλήμης γνώμης περὶ τῆς Ἐπικουρείου φιλοσοφίας, μίαν τῶν κυριωτάτων αὐτοῦ ἰδεῶν παρ' αὐτῆς ἠδύνατο ἀρύσασθαι; — 2) Διογ. Λαερτ. XI. 107. Zeller III, I. S. 280—284. — 3) Στρωμ. VI, IX. § 70. — 4) Στρωμ. VI, IX § 70. Σοφ. Σολομ. 7, 17.

Σκεπτικῶν καὶ μικροφιλοτιμίαν καὶ φίλεοι κατηγορεῖ Κλήμης, ἔνθα τοὺς παλαιοὺς τοῖς νεωτέροις τῶν Ἑλλήνων συγκρίνων φιλοσόφοις, λέγει „ἀλλ' οὐδὲ οἱ παλαίτατοι τῶν φιλοσόφων ἐπὶ τὸ ἀμφισβητεῖν καὶ ἀπορεῖν ἐφέροντο, ἤπου γ' ἂν ἡμεῖς οἱ τῆς ὄντως ἀληθοῦς ἀντεχόμενοι φιλοσοφίας . . . οἱ μὲν γὰρ νεώτεροι τῶν παρ' Ἕλλησι φιλοσόφων ὑπὸ φιλοτιμίας κενῆς τε καὶ ἀτελοῦς ἐλεγκτικῶς ἅμα καὶ ἐριστικῶς εἰς τὴν ἄχρηστον ἐξάγονται φλυαρίαν“ [1]).

Ε'. Περὶ τοῦ γνωστικοῦ ἰδίᾳ παραβαλλομένου τῷ τῆς Στοᾶς σοφῷ.

§ 1. Ἡ μὲν ἀπάθεια τοῦ παρὰ τοῖς Στωϊκοῖς σοφοῦ φέρει κυρίως θεωρητικὸν χαρακτῆρα· οὗτος γὰρ περὶ πλείστου ποιεῖται τὸ ἀνέφελον τῆς διαθέσεως αὐτοῦ καὶ τὸ ἀόχλητον τοῦ ἐν ἑαυτῷ πνεύματος, ὅπερ ἀπόσπασμά ἐστι τοῦ Θεοῦ [2]) · ἡ δὲ ἀπάθεια τοῦ παρὰ τῷ Κλήμεντι γνωστικοῦ κατ' ἐξοχήν ἐστι πρακτική· οὐδέποτε γὰρ οὗτος ῥαστώνης ἀπολαύει· πρῶτον μὲν γὰρ ὡς ἀθλητὴς εἰς τὸ μέγα κατέρχεται στάδιον, τὸν κόσμον τοῦτον, τὸ παγκράτιον πρὸς τὰς πνευματικὰς ἐξουσίας ἀγωνισόμενος, ἔχων ἀγωνοθέτην μὲν τὸν Θεόν, βραβευτὴν δὲ τὸν Λόγον, θεατὰς δὲ τοὺς ἀγγέλους· εἶτα τὸν ἀντίπαλον καταγωνισάμενος καὶ τὴν ἀληθινὴν ἀράμενος νίκην [3]), προνοίᾳ χρῆται γνωστικῇ, σκοπῶν ὅπως μὴ τῆς νίκης ταύτης στερηθήσεται μηδ' ἐκπεσεῖται της ἀπαθείας καὶ ἁγιότητος, ἐπείγεται δὲ καὶ βιάζεται ἀεί ποτε τὸ ἀγαθόν δι' ἀγάπην τὴν πρὸς τὸν

1) Στρωμ. VIII, I. § 1. — 2) Αἱ ψυχαὶ συναφεῖς τῷ Θεῷ, ἅτε αὐτοῦ μόρια καὶ ἀποσπάσματα. Ἐπικτ. διατριβ. I, 14, 6. Ψυχὴ μέρος καὶ ἀπόρροια Θεοῦ. Μ. Αὐρηλ. V, 27. Zeller III, I. S. 103. — 3) Στρωμ. VII, III. § 20.

Κύριον ποιεῖν, σπεύδων ὁμοιωθῆναι τῷ ἠγαπημένῳ[1]). *Τῇ πρὸς τὸν Θεὸν ἀγάπῃ κεντούμενος ὁ γνωστικός, ἀσπάζεται τὴν ἐγκράτειαν καὶ σπεύδει εἰς ἀπάθειαν· τῇ ἀγάπῃ ταύτῃ συνὼν τῷ Θεῷ καὶ θείας εὐφροσύνης ἀπολαύων, οὔτε τῶν ἡδονῶν τοῦ βίου ἥττων γίγνεται, οὔτε ἐπὶ τοῖς λυπηροῖς καταπίπτει· ἀπαθὴς γίγνεται, καταφρονῶν τῶν φθαρτῶν καὶ αὐτῆς τῆς ζωῆς μὴ φειδόμενος, εἰ ὁ Λόγος καλεῖ, οὐχὶ ὡς ὁ τῆς Στωᾶς σοφός, ἵνα ὑποταγῇ τῇ σιδηρᾷ ἀνάγκῃ καὶ εἱμαρμένῃ, ἢ ἵνα τῆς τυφλῆς ταύτης ἀνάγκης ἀπαλλαγῇ καὶ τὸν δεσμὸν τῆς ἐκ τοῦ Θεοῦ ἐξαρτήσεως διαρρήξῃ, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἵνα ἀπολύτως μετ' ἀγάπης τῷ ἠγαπημένῳ ὑποταγῇ καὶ λατρεύσῃ Θεῷ ζῶντι, μαρτυρῶν τῇ ἀληθείᾳ ἔν τε λόγῳ καὶ ἔργῳ*[2]). *Ὁ μὲν γνωστικός, ὡς λέγει ὁ Κλήμης, τρισὶν ὅπλοις, πίστει, ἐλπίδι καὶ ἀγάπῃ, κορυσσόμενος, ὦ Κύριε, φησί, δὸς περίστασιν καὶ λάβε ἐπίδειξιν, ἴτω τὸ δεινὸν τοῦτο, κινδύνων ὑπερφρονῶ διὰ τὴν πρὸς σὲ ἀγάπην*[3]), *ὁ δὲ τῆς Στωᾶς σοφὸς πρὸς τὴν εἱμαρμένην ἀποστρεφόμενος, ὁμολογεῖ ὅτι ἄγεται τυφλῶς, ὅπου προώρισται καί, ἢν μὴ θέλῃ, πάλιν ἕψεται, ἀνάγκᾳ πειθόμενος, οὐχὶ ἀγάπῃ κινούμενος:*

Ἄγου δέ μ' ὦ Ζεῦ καὶ σύ γ' ἡ Πεπρωμένη,
ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος·
Ὡς ἕψομαί γ' ἄοκνος· ἢν δὲ μὴ θέλω,
κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι[4]).

§ 2. *Ὁ μὲν γνωστικὸς πάντα στέγει καὶ πάντα ὑπομένει, οὐχ ἵνα ἑαυτῷ ἀρέσῃ οὐδὲ διὰ τὰ ἆθλα τῶν πόνων, οὐδ' ἵνα ἀνθρώποις ἀρέσῃ, ἀλλ' ἐμμένει τῇ ὁμολογίᾳ τῆς κλήσεως διὰ τὴν πρὸς τὸν Θεὸν ἀγάπην, μηδ-*

1) *Στρωμ.* V, III. § 17. — 2) *Στρωμ.* VII, IX. § 54. — 3) *Στρωμ.* IV, VII. § 55, 56. *πρβλ. τὸ τοῦ Ἀποστόλου „τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; Ρωμ.* 8, 35, *ὃ παρατιθέμενος Κλήμης, ἐπιλέγει „ἔχεις συγκεφαλαίωσιν γνωστικοῦ μάρτυρος“. Στρωμ.* IV, XIV. § 98. — 4) *Κλεάνθ. παρ' Ἐπικτητ. Ἐγχειρ.* 52.

ἕνα ἕτερον σκοπὸν ἑλόμενος ἢ τὴν πρὸς αὐτὸν εὐαρέστησιν. „ἡ ἀγάπη αὐτὴ δι' αὐτὴν αἱρετή, οὐ δι' ἄλλο τι“ [1]). Ἡ ἀγάπη αὐτοῦ ἐστι πλήρης αὐταπαρνήσεως καὶ ἐλευθέρα πάσης φιλαυτίας, οὐ ζητοῦσα τὰ ἑαυτῆς [2]) · ὁ δὲ τῆς Στωᾶς σοφὸς καρτερικὸς τυγχάνει καὶ ἀπάθειαν θηρεύει, ἵνα ἑαυτῷ ἀρέσῃ, καὶ μὴ ἡ ἐσωτερικὴ αὐτοῦ γαλήνη καὶ ἀταραξία διαταραχθῇ · φιλαυτίᾳ ἄρα δουλεύει. Ἐντεῦθεν καὶ ὑπεροπτικὸς καθίσταται, Deorum socius non supplex [3]), καὶ πάντας τοὺς μὴ σοφοὺς φαύλους ἀποκαλεῖ [4]). Ὁ δὲ τοῦ Κλήμεντος γνωστικὸς ἥμερος καὶ πρᾶος ἀεί ἐστιν, εὐπρόσιτος, εὐαπάντητος, ἀνεξίκακος, εὐγνώμων, εὐσυνείδητος [5]) · πρὸς δὲ τοὺς πέλας, κἂν οἰκέτης ᾖ κἂν πολέμιος, κἂν ὅστις οὖν, ἴσος καὶ ὅμοιος διὰ τὴν ἐν τῇ ἀγάπῃ τελείωσιν εὑρίσκεται [6]) · οὐχ ὑπερορᾷ τὸν ἀδελφόν, κατὰ τὸν θεῖον νόμον ὁμοπάτριον ὄντα καὶ ὁμομήτριον, ἐν θλίψει γενόμενον ἐπικουφίζει καὶ παραμυθεῖται, τὴν ἀλγηδόνα ἐκείνου ἴδιον ἡγούμενος ἄλγημα · πάντων ταῖς βιωτικαῖς χρείαις ἐπικουρεῖ, καὶ αὐτοῦ τοῦ μισοῦντος καὶ διώκοντος, ἐκ τῆς ἑαυτοῦ ἐνδείας παρεχόμενος [7]) · πολυειδῶς ὀνίνησι, τοὺς μὲν τῇ παρακολουθήσει σχηματίζων, ὡς ὁ παιδοτρίβης τὸν παῖδα, τοὺς δὲ τῇ ὁμοιώσει προτρεπόμενος, τοὺς δὲ καὶ τῇ προστάξει παιδεύων καὶ διδάσκων [8]) · οὐ μνησικακεῖ, οὐ χαλεπαίνει οὐδενί, ἀγαπᾷ τὸν κοινωνὸν τοῦ βίου, οἰκτείρων καὶ ὑπερευχόμενος αὐτοῦ [9]) · συγγιγνώσκει τοῖς ἐχθροῖς, τῷ Θεῷ διὰ τῆς πολλῆς ἀμνησικακίας ὁμοιοῦσθαι βιαζόμενος, καὶ τοῖς εἰς αὐτὸν πεπλημμεληκόσι τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐξαι-

---

1) Στρωμ. VII, XI. § 67. XII. § 70. — 2) α'. Κορινθ. 13, 5. — 3) Senec Epist. 31. — 4) Ἀρέσκει γὰρ τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωϊκοῖς φιλοσόφοις δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων τὸ δὲ τῶν φαύλων, καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις. Στοβ. Ἐκλογ. II. 198. — 5) Στρωμ. VII, VII. § 45. — 6) Στρωμ. VII, XII. § 77. — 7) Στρωμ. VII, XII. § 69, 78. — 8) Στρωμ. VI, XVII. § 160. — 9) Στρωμ. VII, XI. § 62.

τεῖται, οὐ μὴν δ' ἀλλὰ καὶ τὴν τῶν Ἐθνικῶν καὶ αἱρετικῶν εἰς Χριστὸν ἐπιστροφὴν ποθεῖ καὶ εὔχεται πρὸς ἐπίγνωσιν καὶ δόξαν τοῦ Θεοῦ· οὐ μόνον δ' εὔχεται, ἀλλὰ καὶ συνεργεῖ, διδάσκων [1]).

§ 3. Ὁ γνωστικὸς πείθεται τῷ ἀλείπτῃ καὶ ἀκολουθεῖ τῷ Λόγῳ, τούτου τὰς ἀρετὰς ὅση δύναμις ἀποματτόμενος, ταπεινῶς ὁμολογῶν ἔργον ἀνθρώπειον εἶναι εὐπείθειαν Θεῷ σωτηρίαν καταγγέλλοντι· ὅθεν καὶ καθαρὸς μὲν τὴν σάρκα, καθαρὸς δὲ τὴν καρδίαν καὶ ἡγιασμένος τὸν λόγον διαμένει [2])· ὁ δὲ τῆς Στωᾶς σοφός ἐστιν erhaben über jedes Gesetz und jede Sitte; selbst das Verwerflichste und Schändlichste, Betrug, Selbstmord, Blutschande dürfte er begehen zu rechter Zeit und in tugendhafter Gesinnung [3])· κατὰ δὲ τὸν Πλούταρχον ὁ Χρύσιππος ἐδικαίου τὸν γάμον μητρὸς μεθ' υἱοῦ καὶ πατρὸς μετὰ θυγατρὸς συμφώνως τῷ παραδείγματι τῶν ἀλόγων ζῴων, ὡς ἀκόλουθον τῇ φύσει [4]).

§ 4. Γνωστόν ἐστιν ὅτι ἡ Στωά, καθάπερ πᾶν πανθεϊστικὸν σύστημα, τὸν Θεὸν δύναμιν τυφλὴν καὶ ἀναγκαίαν, „πνεῦμα διὰ πάντων διεληλυθὸς καὶ πάντα ἐν ἑαυτῷ περιέχον“ [5]) κηρύττει, συγχέουσα αὐτὸν μετὰ τῶν ἐν τῇ φύ-

1) Στρωμ. VI, XIII. § 81, 85. — Εἰκότως οὖν ἡ γνῶσις αὕτη ἀγαπᾷ καὶ τοὺς ἀγνοοῦντας διδάσκει τε καὶ παιδεύει τὴν πᾶσαν κτίσιν τοῦ παντοκράτορος Θεοῦ τιμᾶν. Στρωμ. IV, XXII. § 141. Ἥ τε τῶν πέλας εἰς ἐπιστροφὴν αἴτησις ἔργον ἐστὶ τοῦ γνωστικοῦ . . . εὐχόμενος ὡς πλείστους ὅσους ἐν ἐπιγνώσει γενέσθαι, ἵν' ἐν τοῖς σωζομένοις διὰ τῆς σωτηρίας κατ' ἐπίγνωσιν ὁ Θεὸς δοξάζηται καὶ ὁ μόνος ἀγαθὸς καὶ ὁ μόνος σωτὴρ δι' υἱοῦ ἐξ αἰῶνος εἰς αἰῶνα ἐπιγινώσκηται. Στρωμ. VII, VII. § 41. Τοὺς δὲ τῆς ἐπιπολαζούσης εἴτε ἀμαθίας εἴτε ἀβελτηρίας, εἴτε καχεξίας εἴθ' ὅ τι δήποτε χρὴ καλεῖν αὐτὴν ἀποπαῦσαι γλιχόμενος, μεταπεῖσαι δὲ καὶ προσαγαγεῖν τῇ ἀληθείᾳ τούς γε μὴ παντάπασιν ἀνιάτους ἐπιχειρῶν, τοῖσδε συνεχρησάμην τοῖς λόγοις. Στρωμ. VII, XVI. § 102. — Στρωμ. II, X. § 46. — 2) Στρωμ. VII, III. § 20, 21. — II, XX. § 104. — 3) Schwegler, G. d. Philosophie S. 175. — 4) Πλουταρχ. Στωϊκ. Ἐναντ. 22. — 5) Ὠριγεν. κατὰ Κέλσ. VI, 71.

σει νόμων, τῆς ἀνάγκης καὶ τῆς εἱμαρμένης, ἥτις ἐστὶ λόγος, καθ᾽ ὃν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γιγνόμενα γίγνεται, τὰ δὲ γενησόμενα γενήσεται [1]). Ἐντεῦθεν ὁ σοφὸς ὁμολογουμένως τῷ λόγῳ τούτῳ ζῶν, ὑποτάσσεται καὶ ἄκων νόμῳ φυσικῷ, νόμῳ ἀνάγκης καὶ τυφλῆς εἱμαρμένης [2]), διὰ πάντων διήκοντι καὶ δι᾽ αὐτοῦ ἔτι. Οὗτος ἀγνοεῖ, ὡς εἰκός, τὴν ἔννοιαν τῆς θείας προνοίας· ἡ γὰρ παρὰ τοῖς Στωϊκοῖς πρόνοια οὐδὲν ἕτερόν ἐστιν ἢ ἀνάγκη [3]). Ὁ μὲν θεὸς τῆν Στωᾶς ἐστι ξένος τῆς ἀρετῆς καὶ ἠθικῆς τοῦ ἀνθρώπου προκοπῆς [4]), ὁ δὲ σοφὸς αὐτῆς οὐ μόνον ἴσος τῷ Θεῷ, ἀλλὰ καὶ κρείττων αὐτοῦ· ὁ μὲν γὰρ Θεὸς τῇ φύσει, ὁ δὲ σοφὸς ἑαυτῷ ὀφείλει τὸ ἄφοβον, ὥς φησι Σενέκας [5]). Ὁ σοφὸς τῇ μὲν εἱμαρμένῃ τὴν ἑαυτοῦ γένεσιν, ἑαυτῷ δὲ τὴν ἀρετὴν καὶ σοφίαν ὀφείλει. Τοιαύτη διδασκαλία ἀσυνάρμοστός ἐστι τῇ πρὸς τὸν Θεὸν ἀγάπῃ καὶ τῇ προσευχῇ· πῶς γὰρ ἄν τις ἀγαπήσαι Θεόν, πνεύματος καὶ βουλήσεως ἀγαθῆς στερούμενον, οὗ αἱ εὐεργεσίαι ἀνάγκης προϊόντα εἰσί, καὶ ὃς ταὐτίζεται τῷ ἐν ἡμῖν λόγῳ καὶ τῇ τυφλῇ εἱμαρμένῃ; ἡ δὲ προσευχὴ προϋποτίθησι τὸ μὲν θείαν πρό-

---

1) Στοβ. Ἐκλογ. I. 180. Ἔστι δὲ εἱμαρμένη αἰτία τῶν πάντων εἱρομένη, ἢ λόγος, καθ᾽ ὃν ὁ κόσμος διεξάγεται. Διογ. Λαερτ. VII. 149. — Ὅτι δ᾽ ἡ κοινὴ φύσις καὶ ὁ κοινὸς τῆς φύσεως λόγος εἱμαρμένη καὶ πρόνοια καὶ Ζεύς ἐστιν, οὐδὲ τοὺς ἀντίποδας λέληθε· πανταχοῦ γὰρ ταῦτα θρυλεῖται ὑπ᾽ αὐτῶν. Πλουτάρχ. Στωϊκ. Ἐναντιωμ. 34. 5. — Quid enim aliud est natura, quam Deus et divina ratio toti mundo et partibus ejus inserta? Senec. de benef. IV, 7. — 2) Inexorabilis fatorum necessitas. Senec. Epistol. 101. — Irrevocabilis humana pariter ac divina cursus vehit. Senec. de provid. c. 5. — 3) In dem Entstehen und Vergehen der Welt herrscht eine absolute Nothwendigkeit, welche mit der Gesetzmässigkeit der Natur und mit der göttlichen Vernunft identisch ist; diese Nothwendigkeit ist das Verhängniss (εἱμαρμένη) und zugleich die Vorsehung (πρόνοια), die alles beherrscht. Ueberweg - Heinze S. 235. — 4) Virtutem nemo unquam acceptam Deo retulit . . . quis, quod bonus vir esset, gratias diis egit unquam? Cicer. de natur. Deorum III. 36. — 5) Senec. Epist. 53 et 73.

νοιαν καὶ χάριν, τὸ δὲ ἐξάρτησιν τοῦ ἀνθρώπου[1]). Ἑαυτῷ τοίνυν μόνῳ πεποιθὼς ἵσταται ὁ σοφὸς ἄκαμπτος ἐν μέσοις τοῖς δεινοῖς, ἀπαρηγόρητος καὶ πάσης χαρᾶς ξένος· οὐδενὶ δὲ ὀφείλων δοῦναι λόγον, τὸν δὲ θάνατον καὶ τὴν ζωὴν ἀδιάφορα ἡγούμενος, ἀδοκήτοις καὶ ἀφορήτοις περιπεσὼν συμφοραῖς καὶ τοῦ βίου οἱονεὶ κορεσθείς, αὐτοχειρίᾳ ἑαυτὸν τούτου ἀπαλλάττει, ὅπερ παρὰ τῆς Στωᾶς εὔλογος ἐξαγωγὴ καλεῖται, καὶ τῆς ὁδοῦ ταύτης ἡγήσατο ὁ τῆς Στωϊκῆς φιλοσοφίας ἔξαρχος Ζήνων ὁ Κιττιεύς, ἀπαγξάμενος, ὡς λέγεται, καὶ τούτου τοῖς ἴχνεσιν ἠκολούθησεν ὁ μαθητὴς αὐτοῦ Κλεάνθης, ἀποκαρτερήσας[2]). Τὸν γνωστικὸν τοὔμπαλιν χαρᾶς καὶ θάρρους τὸ δόγμα πληροῖ τῆς θείας προνοίας, ἣν καθορᾷ ἐν τῇ ὄψει πάντων τῶν τεχνικῶν καὶ σοφῶν ποιημάτων, τῶν μὲν τάξει γιγνομένων, τῶν δὲ τάξει φανερουμένων, ἰδίᾳ δὲ καὶ μάλιστα ἐν τῇ περὶ τὸν Σωτῆρα οἰκονομίᾳ[3]), ἣ μῦθος ἂν εἴη, τῆς προνοίας ἀναιρουμένης[4]). Ὁ γνωστικὸς οἶδεν ὅτι ὁ ἐν ἀρχῇ μὲν τοῦ εἶναι καὶ ζῆν, εἶτα δὲ τοῦ εὖ ζῆν ἡμῖν μεταδοὺς Λόγος, αὐτὸς παρέξει ἡμῖν καὶ τὸ ἀεὶ ζῆν· οὐκ ἄρα ξένος τῆς τῶν ἀνθρώπων ἐστὶ σωτηρίας[5]). Πεπεισμένος δ᾽ ἄριστα διοικεῖσθαι τὰ κατὰ τὸν κόσμον, πᾶσιν εὐαρεστεῖται τοῖς συμ-

1) Cognat p. 359. — 2) Διογ. Λαερτ. VII. 28, 130, 176. Στοβ. λογ. 7, 45, 54. Zeller III, I. S. 185. — 3) Στρωμ. V, I. § 6. — 4) Στρωμ. I, XI. § 52. — 5) Λόγος ὁ καὶ τὸ ζῆν ἐν ἀρχῇ μετὰ τοῦ πλάσαι παρασχών, ὡς δημιουργός, τὸ εὖ ζῆν ἐδίδαξεν, ἐπιφανεὶς ὡς διδάσκαλος, ἵνα τὸ ἀεὶ ζῆν ὕστερον ὡς Θεὸς χορηγήσῃ· ὁ δέ, οὐ νῦν γε πρῶτον ᾤκτειρεν ἡμᾶς τῆς πλάνης, ἀλλ᾽ ἄνωθεν ἀρχῆθεν· νῦν δὲ ἤδη ἀπολλυμένους ἐπιφανεὶς περισέσωκε. Προτρεπτ. I. § 7. — Clemens hat viele bedeutende Gedanken und manche von ihnen in geistreicher Form ausgesprochen; er hat auch einige grosse Grundideen, womit er seine Lehrstoffe bis zu gewissem Grade durchdringt; z. B. der Gedanke, welcher eine christliche Weltanschauung einschliesst: die Schöpfung, Erziehung und Erlösung des menschlichen Geschlechtes durch den göttlichen Logos, und der Gedanke der christlichen τελειότης in dem Gnostikos. Herzog etc. S. 271.

βαίνουσιν, „ἱλαρὸς διὰ τὸν ἐπιλογισμὸν τῶν ἀνθρωπείων ἀγαθῶν, ὧν ἔδωκεν ἡμῖν ὁ Θεός“ [1]· τοὺς πόνους καὶ τὰς θλίψεις καὶ τὰς βασάνους γενναίως καὶ ἀγογγύστως ὑπομένει, τοῦτο μὲν πιστεύων μηδὲν ἄνευ τοῦ θείου θελήματος ἢ τῆς θείας παραχωρήσεως γίγνεσθαι, τοῦτο δὲ χαίρων ἐπὶ τοῖς ἐπηγγελμένοις, ὡς ἤδη παροῦσιν [2]. Ἀεὶ σύνεστι καὶ ὁμιλεῖ τῷ Θεῷ διὰ προσευχῆς· ὁ βίος αὐτοῦ πανήγυρις ἁγία· ὅπου περ ἂν ᾖ, τιμᾷ τὸν Θεόν, θυσίαις καὶ εὐχαῖς, αἴνοις τε καὶ ἐντεύξεσι τῶν Γραφῶν, ψαλμοῖς καὶ ὕμνοις συνάπτων ἑαυτὸν τῷ θείῳ ἐν οὐρανοῖς χορῷ [3]. Κατέρχεται εἰς τὸν ἀγῶνα θαρραλέος, ἀλείπτην ἔχων τὸν Λόγον, πεποιθὼς τῷ Θεῷ [4], καὶ τοῖς τοῦ Κυρίου πεφραγμένος ὅπλοις [5], κατεξανίσταται παντὸς φόβου, παντὸς δεινοῦ καὶ αὐτοῦ τοῦ θανάτου· ἅπας γὰρ ὁ βίος αὐτοῦ, ἀληθὴς ὢν θεοσέβεια, μελέτη θανάτου ἐστί [6]· παρὰ δὲ τοῦ Κυρίου πορίζόμενος, ὃν ποθεῖ καρπόν, τὴν τῆς ψυχῆς εὐστάθειαν [7], ἀντιπολιτεύεται ταῖς ἀρχαῖς τοῦ σκότους [8]. Οὐκ ἐξάγει ἑαυτὸν τοῦ βίου· οὐ γὰρ ἐπιτέτραπται [9]· οὐδὲ θανάτῳ ἐπιπηδᾷ κενῷ [10], προθύμως μέντοι ἀπολείπει τὸ σκῆνος, ἐὰν ὁ καιρὸς τῆς ἀποδημίας καλῇ, εὐχαριστῶν ἐπὶ

1) *Στρωμ.* VII, VII. § 35, 45. — 2) VII, XI. § 63. — 3) VII, VII. § 49. — *Ἀεὶ εὐχαριστοῦσα ἐπὶ πᾶσι τῷ Θεῷ, δι᾽ ἀκοῆς δικαίας καὶ ἀναγνώσεως θείας, διὰ ζητήσεως ἀληθοῦς, διὰ προσφορᾶς ἁγίας, δι᾽ εὐχῆς μακαρίας, αἰνοῦσα, ὑμνοῦσα, εὐλογοῦσα, ψάλλουσα, οὐ διορίζεταί ποτε τοῦ Θεοῦ κατ᾽ οὐδένα καιρὸν ἡ τοιάδε ψυχή. Στρωμ.* VI, XIII. § 113. — 4) *Στρωμ.* VII, XI. § 64. — 5) VII, XI. § 65. — 6) *Στρωμ.* V, XI. § 68. — II, XX. § 109. — *Ὁ τοίνυν τοῦ σώματος ἀπὸ τῆς ψυχῆς χωρισμὸς ὁ παρ᾽ ὅλον τὸν βίον μελετώμενος τῷ φιλοσόφῳ προθυμίαν κατασκευάζει γνωστικὴν εὐκόλως δύνασθαι φέρειν τὸν τῆς φύσεως θάνατον, διάλυσιν ὄντα τῶν πρὸς τὸ σῶμα τῆς ψυχῆς δεσμῶν· ἐμοὶ γὰρ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ, λέγει, βιῶ δὲ ἤδη ἐν σαρκὶ ὢν ὡς ἐν οὐρανῷ πολιτευόμενος. Στρωμ.* IV, III. § 12. *Γαλ.* 6, 14. *Φιλιπ.* 2, 20. — *Οὕτω καὶ Πλάτων λέγει, „οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι“. Φαιδ.* p. 48. — 7) *Στρωμ.* IV, XXIII. § 151. — 8) *Στρωμ.* IV, VII. § 48. — 9) *Στρωμ.* VI, IX. § 75. — 10) *Στρωμ.* IV, IV. § 17.

τῇ παροικίᾳ, εὐλογῶν ἐπὶ τῇ ἐξόδῳ [1]. *Καλούμενος δ' εἰς ὁμολογίαν ἢ μαρτύριον, ὑπακούει ῥᾳδίως, ὁμολογῶν καὶ ἐν φωνῇ, ὃν πρότερον τῇ διαθέσει καὶ τῇ πράξει, ἐν τῇ πίστει καὶ τῇ πολιτείᾳ ὡμολόγησε, καὶ φέρων ἐπιδίδωσι τὸ μαρτύριον, οἷον παρακαταθήκην εὐγνωμόνως καὶ ἀγαπητικῶς* [2], *οὐ φόβῳ ἐκκλίνων, οὐδ' ἐλπίδι δωρεῶν ἡτοιμασμένων πιπράσκων τὴν πίστιν* [3]. Συνελόντι δ' εἰπεῖν, ὁ γνωστικὸς τοῦ Κλήμεντός ἐστι μάρτυς, βίῳ καὶ λόγῳ μαρτυρῶν, οὗ ἡ πίστις αἵματος δίκην παρὰ πάντα τὸν βίον καὶ ἐν τῇ ἐξόδῳ ἐκχεῖται [4]. Τοσοῦτον ἄρα διαφέρει ὁ παρὰ τῷ Κλήμεντι γνωστικὸς τοῦ παρὰ τοῖς Στωϊκοῖς σοφοῦ, ὅσον ὁ μάρτυς τοῦ αὐτόχειρος [5].

§ 5. Ἐκ τῆς συγκριτικῆς ταύτης εἰκόνος τοῦ γνωστικοῦ καὶ τοῦ σοφοῦ ἔξεστιν ἡμῖν συμπερᾶναι ὅτι ὁ Στωϊκισμὸς ἄντικρυς ἀντίκειται τῇ θρησκευτικῇ καὶ ἠθικῇ διδασκαλίᾳ τοῦ Κλήμεντος. Ἕτεροι ὅμως, οἷον ὁ Merk, διισχυρίζονται ὅτι ὁ Κλήμης ἅπαντας τοὺς χαρακτῆρας τοῦ παρὰ τῇ Στοᾷ σοφοῦ ἀντέγραψε καὶ τῷ γνωστικῷ προσῆψεν [6]· ὁ γὰρ γνωστικός ἐστι κατὰ Κλήμεντα ἐλεύθερος, πλούσιος, εὐγενής, σώφρων, καλός, ἄριστος φίλος, ὅσιος ἱερεὺς τοῦ Θεοῦ, βασιλικὸς ἀνήρ, ἀρχικός, ἡγεμονικός, παιδευτικὸς καὶ ἕτερα παραπλήσια, ἃ τῷ σοφῷ ἡ Στοὰ προσγράφει, ὡς μαρτυροῦσι Διογένης ὁ Λαέρτιος, Πλούταρχος, Ἰωάννης ὁ Στοβαῖος, Σενέκας καὶ ἕτεροι [7]. Ἀλλ'

1) *Αὐτίκα ἡ τοῦ σοφοῦ τε καὶ γνωστικοῦ ψυχὴ οἷον ἐπιξενουμένη τῷ σώματι σεμνῶς αὐτῷ καὶ τιμητικῶς προσφέρεται οὐ προσπαθῶς, ὅσον οὐδέπω ἐὰν ὁ καιρὸς τῆς ἀποδημίας καλῇ ἀπολείπουσα τὸ σκῆνος.* Στρωμ. IV, XXVI. § 167, 168. — 2) Στρωμ. IV, IX. § 72—77. — 3) *Ἀγάπῃ δὲ πρὸς τὸν Κύριον ἀσμενέστατα τοῦδε τοῦ βίου ἀπολυθήσεται, χάριν ἴσως καὶ τῷ τὴν αἰτίαν παρασχομένῳ τῆς ἐνθένδε ἐξόδου καὶ τῷ τὴν ἐπιβουλὴν τεχνασαμένῳ ἐγνωκώς, πρόφασιν εὔλογον λαβών, ἣν οὐκ αὐτὸς παρέσχε.* Στρωμ. IV, IV. § 14. — 4) Στρωμ. IV, IV. § 15. — 5) Cognat p. 354. — 6) Zug für Zug hat Clemens den Stoiker nachgebildet. Merk p. 75, 76. — 7) Histor. phil. Ritter et Preller p. 432—435. — Merk p. 76 ἐν ἐποσημειώσ.

ὅμως συμφωνία λέξεων καὶ φράσεων, ἔστιν ὅτε δὲ καὶ μεμονωμένων τινῶν ἐννοιῶν οὐ μαρτυρεῖ ταὐτότητα ἀρχῶν καὶ ἀντιγραφὴν τῶν φρονημάτων συγγραφέως τινὸς παρὰ τοῦ ἑτέρου· μαρτυρεῖ μοι τῷ λόγῳ τὰ συγγράμματα τῶν νεωτέρων Στωϊκῶν, Σενέκα, Ἐπικτήτου καὶ Μάρκου Αὐρηλίου, ἐν οἷς χωρία τινὰ μεγίστην καὶ ἀληθῶς ἐκπληκτικὴν ἔχει τὴν ὁμοιότητα πρὸς Γραφικὰς ῥήσεις, διὸ καὶ κριτικοί τινες οὐκ ὤκνησαν τὸν διδάσκαλον τοῦ Νέρωνος μαθητὴν ὑπολαβεῖν τοῦ ἀποστόλου Παύλου [1])· ὀρθῶς δὲ λέγει Reuter ὅτι προσεκτέον μὴ ἐκ τῆς τῶν ἐκφράσεων συμφωνίας ταὐτότητα ὑποθέσεως καὶ ἀποδείξεων αὐτίκα εἰκαστέον νομίσωμεν εἶναι [2]). Κλήμης δ' αὐτὸς σαφῶς λέγει ὅτι τὸν λόγον πρὸς Ἐθνικοὺς ποιούμενος, οὓς εἰς Χριστὸν ἐπιστρέψαι ποθεῖ, σκοπίμως παραιτεῖται λέξεις προφητικὰς καὶ Γραφικάς, παντελῶς αὐτοῖς ἀκαταλήπτους, κεφαλαιωδῶς δὲ τὸν Χριστιανισμὸν ὑπογράφει, γλώττῃ χρώμενος γνωστῇ αὐτοῖς ἐκ τῆς παρ' αὐτοῖς παιδείας, περιβάλλει δῆλον ὅτι τὸ δόγμα καὶ τὴν ἠθικὴν τοῦ Εὐαγγελίου φιλοσοφικὸν τρίβωνα· φοβούμενος δὲ μὴ παρανοηθῇ, ὃ δὴ καὶ πέπονθε, λέγει ὅτι ἡ μὲν λέξις καὶ τὰ ὀνόματα οὐκ ἔστι Γραφικά, ὁ νοῦς ὅμως καὶ ἡ οὐσία τῶν ὑπ' αὐτοῦ λεγομένων ἀπ' αὐτῶν πηγάζει τῶν κυριακῶν Γραφῶν· „κἂν ἑτεροῖά τισι τῶν πολλῶν καταφαίνηται τὰ ὑφ' ἡμῶν λεγόμενα τῶν κυριακῶν Γραφῶν, ἰστέον ὅτι ἐκεῖθεν ἀναπνεῖ τε καὶ ζῇ καὶ τὰς ἀφορμὰς ἀπ' αὐτῶν ἔχοντα τὸν νοῦν μόνον, οὐ τὴν λέξιν, παριστᾶν ἐπαγγέλλεται“ [3]). Ὅτι δὲ

---

1) Cognat p. 289. — 2) Quas Clementis sententias cum Stoicis conferentibus nobis cavendum est, ne ex loquendi formularum congruentia sine mora conjiciendum esse censeamus, etiam argumenta congruere; neve hoc praetermittamus, locos multos, qui in Senecae, philosophiae Stoicae fortissimi propugnatoris, libris reperiuntur, locis biblicis, quibus et Stoicae et Clementinae sententiae confirmari videantur, revera simillimos esse. Reuter p. 31 § 8. — 3) Ἤδη δὲ καιρὸς ἡμᾶς παραστῆσαι τοῖς Ἕλλησι μόνον ὄντως

ἐκ τῆς τῶν Ἑλλήνων φιλοσοφίας καὶ τῆς καθόλου φιλολογίας οὐχὶ ἐννοίας καὶ δόγματα, ἀλλὰ λέξεις καὶ φράσεις μόνον παραλαμβάνει, δῆλον γίγνεται καὶ ἀλλαχόθεν, ἔνθα λέγει, „δύο εἰσὶν ἰδέαι τῆς ἀληθείας, τά τε ὀνόματα καὶ τὰ πράγματα, οἱ μὲν τὰ ὀνόματα λέγουσιν, οἱ περὶ τὰ κάλλη τῶν λόγων διατρίβοντες, οἱ παρ' Ἕλλησι φιλόσοφοι, τὰ πράγματα δὲ παρ' ἡμῖν ἐστι τοῖς βαρβάροις" [1]. *Ἀλλαχοῦ δὲ πάλιν αὐτοτελῆ καὶ ἀπροσδεᾶ ὁμολογεῖ τὴν τοῦ Λόγου διδασκαλίαν, δύναμιν οὖσαν καὶ σοφίαν τοῦ Θεοῦ* [2], *καὶ ἐν τῷ πρὸς τοὺς Ἕλληνας Προτρεπτικῷ λίαν θαρραλέως καὶ οὕτως εἰπεῖν ὑπερηφάνως τοὺς λαμπροὺς ἐκείνους λέγει λόγους, „ἐμοὶ δοκεῖ, ἐπεὶ αὐτὸς ἧκεν ὡς ἡμᾶς οὐρανόθεν ὁ Λόγος, ἡμᾶς ἐπ' ἀνθρωπίνην ἰέναι μὴ χρῆναι διδασκαλίαν ἔτι, Ἀθήνας καὶ τὴν ἄλλην Ἑλλάδα, πρὸς δὲ καὶ Ἰωνίαν πολυπραγμονοῦντας· εἰ γὰρ ἡμῖν ὁ διδάσκαλος ὁ πληρώσας τὰ πάντα δυνάμεσιν ἁγίαις, δημιουργίᾳ, σωτηρίᾳ, εὐεργεσίᾳ, νομοθεσίᾳ, προφητείᾳ, διδασκαλίᾳ, πάντα νῦν ὁ διδάσκαλος κατηχεῖ, καὶ τὸ πᾶν ἤδη Ἀθῆναι καὶ Ἑλλὰς γέγονε τῷ Λόγῳ"* [3].

§ 6. *Τούτων οὕτως ἐχόντων, φέρε ἴδωμεν, ὅπως ἐξηγεῖται Κλήμης, οὓς παρὰ τῆς φιλοσοφίας καὶ δὴ τῆς Στωϊκῆς παρέλαβε χαρακτῆρας τοῦ γνωστικοῦ. Ὁ γνωστικός ἐστιν ἐλεύθερος, ἐκείνην τὴν ἐλευθερίαν κεκτημένος,*

εἶναι θεοσεβῆ τὸν γνωστικόν . . . ἐναργεστέροις δ' οἶμαι πρὸς τοὺς φιλοσόφους χρῆσθαι προσήκει τοῖς λόγοις, ὡς ἐπαΐειν ἐκ τῆς παρ' αὐτοῖς παιδείας ἤδη γεγυμνασμένους δύνασθαι, καὶ εἰ μηδέπω ἀξίους ἑαυτοὺς μεταλαβεῖν τῆς τοῦ πιστεῦσαι δυνάμεως παρεσχήκασι· τῶν δὲ λέξεων τῶν προφητικῶν ἐπὶ τοῦ παρόντος οὐκ ἐπιμνησθησόμεθα κατὰ τοὺς ἐπικαίρους τόπους ὕστερον ταῖς Γραφαῖς συγχρησόμενοι, τὰ δ' ἐξ αὐτῶν δηλούμενα σημανοῦμεν, κεφαλαιωδῶς τὸν Χριστιανισμὸν ὑπογράφοντες, ἵνα μὴ διακόπτωμεν τὸ συνεχὲς τοῦ λόγου συμπαραλαμβάνοντες τὰς Γραφάς, καὶ ταῦτα τοῖς μηδέπω συνιεῖσι τὰς λέξεις αὐτῶν, ἐπὰν δὲ τὰ σημαινόμενα ἐνδειξώμεθα, τότε αὐτοῖς ἐκ περιουσίας πιστεύσασι καὶ τὰ μαρτύρια φανερωθήσεται. Στρωμ. VII, I. § 1.

1) *Στρώμ.* VI, XVII. § 151. — 2) *Στρωματ.* I, XXI. § 100. — 3) *Προτρ.* XI. § 112.

ἣν ὁ Κύριος ἡμᾶς ἐλευθεροῖ, μόνος ἀπολύων τῶν ἡδονῶν τε καὶ τῶν ἐπιθυμιῶν καὶ τῶν ἄλλων παθῶν· „καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς“ [1]· ὁ τὴν ἀλήθειαν ταύτην ἐγνωκὼς ὄντως ἐλεύθερός ἐστι καὶ οὐκέτι δοῦλος τῆς ἁμαρτίας· ἀληθὴς ἐλευθερία τὸ κρατεῖν τῶν παθῶν, ὥσπερ ἐσχάτη δουλεία τὸ τούτοις ὑποπεσεῖν καὶ παραχωρῆσαι· „πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας“ [2]. Ὁ γνωστικός ἐστι πλούσιος, ἀνώλεθρον κεκτημένος θησαυρόν, ὃν εὐαγγελικῶς ἐν οὐρανῷ θησαυρίζει [3]· πλουτεῖ, ὀλιγοδεὴς ὢν καὶ ἐν περιουσίᾳ παντὸς ἀγαθοῦ· ἀληθὴς γὰρ πλοῦτος ἡ δικαιοσύνη [4]· πλούσιός ἐστιν, οὐχὶ φυλάττων ἀλλὰ μεταδιδούς [5]), ποιούμενος χρῆσιν τοῦ πλούτου κατὰ Χριστόν [6]. Ἐν παρόδῳ σημειούσθω ἐνταῦθα ὅτι κατὰ Κλήμεντα οὐχ ὁ πλοῦτος ἁπλῶς κώλυμά ἐστι τοῖς εἰς τελείωσιν σπεύδουσιν, ὡς ὁ Merk ὑπέλαβε [7]· τοῖς οὕτως αὐτὸν ἐξηγουμένοις ἀποκρίνεται Κλήμης „ὁ πλοῦτος οὐκ ὀρθῶς κυβερνώμενος ἀκρόπολίς ἐστι κακίας, καὶ ἡ ἀκρόπολις αὕτη τῆς κακίας ἡ φιλαργυρία ἐστίν, ἣν ὁ ἀπόστολος ῥίζαν ἁπάντων εἶναι τῶν κακῶν φησιν“ [8]· „οὐκ ἄρα ἀπορριπτέον τὰ καὶ τοὺς πέλας ὠφελοῦντα χρήματα . . . ὁ πλοῦτος ὄργανόν ἐστι· δύνασαι χρῆσθαι δικαίως αὐτῷ, πρὸς δικαιοσύνην καθυπηρετεῖ· ἀδίκως τις αὐτῷ χρῆται, πάλιν ὑπηρέτης ἀδικίας εὑρίσκεται· πέφυκε γὰρ ὑπηρετεῖν, ἀλλ᾽ οὐκ ἄρχειν· οὐ χρὴ τοίνυν τὸ ἐξ ἑαυτοῦ μὴ ἔχον μήτε τὸ ἀγαθὸν μήτε τὸ κακόν, ἀναίτιον ὂν αἰτιᾶσθαι, ἀλλὰ τὸ δυνάμενον καὶ καλῶς τούτοις χρῆσθαι καὶ κακῶς, ἀφ᾽ ὧν ἂν ἕληται καθ᾽ ἑαυτό· τοῦτο δέ ἐστι

---

1) Στρωμ. III, V. § 44. Ἰωαν. 8, 32. — 2) Στρωμ. II, XXIII. § 143. Ἰωαν. 8, 34. Ρωμ. 6, 12. — Κατὰ Πλάτωνα ἐλευθεροπρεπὲς ἡ ἀρετὴ δουλοπρεπὲς ἡ κακία (Ἀλκιβιάδ.). — 3) Ματθ. 6, 19—21. — 4) Στρωμ. VII, III. § 18. — 5) Πιάδ. III, VI. § 35 — 6) Πρβλ. Τίς ὁ σωζόμ. πλούσιος. Παιδ. III. IV. Ὅτι μόνος πλούσιος ὁ Χριστιανός. — 7) Kurz, der Reichthum hindert. Merk, p. 66. — 8) Παιδ. II, III. § 38. 39. α΄. Τιμοθ. 6, 10.

νοῦς ἀνθρώπου καὶ κριτήριον ἐλεύθερον ἔχον ἐν ἑαυτῷ καὶ τὸ αὐτεξούσιον τῆς μεταχειρίσεως τῶν δοθέντων· ὥστε μὴ τὰ χρήματά τις ἀφανιζέτω μᾶλλον ἢ τὰ πάθη τῆς ψυχῆς, τὰ μὴ συγχωροῦντα τὴν ἀμείνω χρῆσιν τῶν ὑπαρχόντων, ἵνα καλὸς καὶ ἀγαθὸς γενόμενος καὶ τούτοις τοῖς χρήμασι χρῆσθαι δυνηθῇ καλῶς· τὸ οὖν ἀποτάξασθαι πᾶσι τοῖς ὑπάρχουσι καὶ πωλῆσαι πάντα τὰ ὑπάρχοντα, τοῦτον τὸν τρόπον ἐκδεκτέον ὡς ἐπὶ τῶν ψυχικῶν παθῶν εἰρημένον“ [1]). Εὐγενὴς δὲ καὶ ἔνδοξός ἐστιν ὁ γνωστικός, ἐξουσίαν εἰληφὼς τέκνον Θεοῦ γενέσθαι καὶ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, ἀτεχνῶς ἡγνισμένος καὶ λόγῳ καὶ βίῳ, περιβεβλημενος τὸ γάνωμα τῆς θείας δόξης [2]) · καταχρῶνται δὲ τῇ εὐγενείᾳ ταύτῃ οἱ ψευδωνύμως σφᾶς αὐτοὺς γνωστικοὺς ἀναγορεύοντες καὶ ταῖς αἰσχραῖς ἐπιθυμίαις ἔκθοτοι [3]). Ὁ γνωστικός ἐστι καλός, ἀρετῇ περιλαμπόμενος· ἡ γὰρ ἀρετὴ κατὰ Πλάτωνα κάλλος ψυχῆς, ἡ δὲ κακία αἶσχος αὐτῆς [4]). Περιγραφικὸν δὲ ὁρισμὸν τοῦ ψυχικοῦ κάλλους ποιεῖται ὁ Κλήμης τὸν ἑξῆς, „κάλλος ἄριστον τὸ ψυχικόν, ὅταν ᾖ κεκοσμημένη ψυχὴ ἁγίῳ Πνεύματι καὶ τοῖς ἐκ τούτου ἐμπνεομένη φαιδρύσμασι, δικαιοσύνῃ, φρονήσει, ἀνδρείᾳ, σωφροσύνῃ, φιλαγαθίᾳ τε καὶ αἰδοῖ, ἧς οὐδὲν εὐανθέστερον χρῶμα ἑώραται πώποτε“ [5]). Τριῶν δὲ ὄντων φιλίας εἰδῶν, τοῦ μὲν κατ᾽ ἀρετήν, τοῦ δὲ κατ᾽ ἀμοιβήν, τοῦ δ᾽ ἐκ συνηθείας ἢ καθ᾽ ἡδονήν, ὁ γνωστικὸς ἀντέχεται τοῦ πρώτου, ὅθεν γνήσιος καὶ σταθερός ἐστι φίλος· στερρὰ γὰρ ἡ ἐκ λόγου καὶ ἐπιστήμης καὶ ἀρετῆς φιλία [6]). Ὁ γνωστικός ἐστιν ἱερεὺς ὅσιος τοῦ Θεοῦ, συνὼν ἀδιαλείπτως αὐτῷ διὰ

1) *Τίς ὁ σωζόμ. πλούσ.* § 14. — 2) *Στρωμ.* IV, VI. § 26. — V, VI. § 41. — *Ἰωάν.* 1, 12. *Λουκ.* 10, 19. — 3) *Στρωμ.* III, IV. § 30, 31. — 4) *Στρωμ.* V, XVI. § 98. *πρβλ. Πλάτ. Θεαιτ.* 135. *Πρωτ.* 216. *Πολιτει.* IX. 591 D. — 5) *Παιδ.* III, XI. § 64. — 6) *Στρωμ.* II, XIX. § 101, 192. *πρβλ. τὸ τοῦ Ἰσοκράτους πρὸς Δημόνικον „τὰς τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν“.*

τῆς γνώσεως καὶ τοῦ βίου καὶ τῆς εὐχαριστίας καὶ καθ' ἑκάστην προσεχέστερον αὐτῷ οἰκειούμενος [1]· οὗτος πρεσβύτερός ἐστι τῷ ὄντι τῆς Ἐκκλησίας καὶ διάκονος ἀληθὴς τῆς τοῦ Θεοῦ βουλήσεως, ἐὰν ποιῇ καὶ διδάσκῃ τὰ τοῦ Κυρίου [2]· ὁ τοιοῦτος ὅσιος τοῦ Θεοῦ ἱερεύς ἐστιν ἅμα τῷ ὄντι βασιλικὸς ἀνήρ, ἀρχικὸς καὶ ἡγεμονικὸς τὸ φρόνημα καὶ τὸν βίον· ἡ γὰρ πρὸς τὸν Κύριον ἀγάπη, ἀλείφουσα καὶ γυμνάζουσα αὐτὸν ὡς ἴδιον ἀθλητήν, ἄφοβον καὶ ἀδεᾶ ἀποδείκνυσιν, ἡ δὲ σωφροσύνη κατὰ τὴν γνῶσιν τελειουμένη ἀεὶ καὶ παραμένουσα κύριον αὐτὸν καὶ αὐτοκράτορα ἀπεργάζεται, ἀδούλωτον ταῖς ἡδοναῖς καὶ τοῖς πάθεσιν [3]), „ἐπεὶ μὴ τῶν ἔξω μόνων θηρίων κατακυριεύειν ἐτάγημεν, ἀλλὰ καὶ τῶν ἐν ἡμῖν αὐτοῖς ἀγρίων παθῶν" [4]). Εὐσυνείδητος δὲ ὢν καὶ εἰς ἄκρον αὐστηρός, ἀκλινὴς γίγνεται δικαστής, ἐὰν ὁ Λόγος καλῇ, μὴ τοῖς πάθεσι χαριζόμενος, ἀμεταστάτως δὲ τὴν τοῦ δικαίου βαδίζων ὁδόν [5]). Ἡγεμονικοὺς δὲ καὶ παιδευτικοὺς καλεῖ ὁ Κλήμης τοὺς ἐναρέτους ἄνδρας, οὓς ὁ Θεὸς συγκινεῖ καὶ ἐξεγείρει εἰς ἐκτέλεσιν τῶν πρὸς ἀρετὴν καὶ εἰρήνην καὶ εὐποιΐαν συντεινόντων, βουλόμενος πάντοτε τοὺς ἀνθρώπους ἢ διὰ παιδείας ἢ δι' ἀρχῆς τινος καὶ διοικήσεως εὖ ποιεῖν· κατὰ γὰρ τὸν Κλήμεντα τῇ τοῦ Θεοῦ βουλήσει ἡ τῶν ἀγαθῶν ἀνδρῶν προαίρεσις ὑπακούει, καὶ αἱ τῶν ἐναρέτων ἀνδρῶν ἐπίνοιαι κατ' ἐπίνοιαν γίγνονται θείαν, διατιθεμένης πως τῆς ψυχῆς καὶ διαδιδομένου τοῦ θείου θελήματος εἰς τὰς ἀνθρωπίνας ψυχάς [6]). Οὐδαμοῦ ὅμως, ὅσον γ' ἡμᾶς εἰδέναι, λέγει Κλήμης ὅτι ὁ γνωστικός ἐστι στρατηγὸς καὶ νομοθέτης, ὡς ἔγραψε

1) Στρωμ. VII, VII § 35, 36. — 2) Στρωμ. VI, XIII. § 106. — 3) Στρωμ. VII, VII. § 36. — VII, XI. § 67. — 4) Στρωμ. VI, XV. § 115. — 5) Στρωμ. VII, VII. § 45. — 6) Στρωμ. VI, XVII. § 157, 158. — πρβλ. Ὁ γνωστικὸς γενόμενος τὴν θείαν προαίρεσιν μιμούμενος εὖ ποιεῖ τοὺς θέλοντας τῶν ἀνθρώπων κατὰ δύναμιν, κἂν εἰς ἀρχὴν κατασταίη ποτέ, καθάπερ ὁ Μωϋσῆς, ἐπὶ σωτηρίᾳ τῶν ἀρχομένων ἡγήσεται καὶ τὸ ἄγριον καὶ ἄπιστον ἐξημερώσεται τιμῇ μὲν τῶν ἀρίστων, κολάσει δὲ τῶν μοχθηρῶν τῇ κατὰ λόγον εἰς παιδείαν ἐγγραφομένῃ. Στρωμ. VII, III. § 16.

Merk [1]), *παρανοήσας, ὡς φαίνεται, τὸ Στρωμ.* VI, XV. § 115, *εἰς ὃ παραπέμπει· οὐδὲ τὸ „ἀναγκαῖον πολιτεύεσθαι ὀρθῶς“ δηλοῖ ὅτι ὁ Κλήμης, βαθέως ἐν τῷ πνεύματι αὐτοῦ ἐγκεχαραγμένην φέρων τὴν εἰκόνα τοῦ παρὰ τοῖς Στωϊκοῖς σοφοῦ, ἁπάσας τὰς εἰς τὴν πολιτείαν ἀνηκούσας ἀρετὰς τῷ γνωστικῷ προσγράφει, ἐν ᾧ χρόνῳ ἡ τούτων ἐκτέλεσις τῷ Χριστιανῷ ὑπὸ τῆς πολιτείας ἀδύνατος ἐγεγόνει, ὡς τῷ αὐτῷ* Merk *δοκεῖ* [2]), *ἀλλὰ βίον ἠθικὸν καὶ ὄντως γνωστικόν, ὡς ἐκ τῆς ἑπομένης αἰτιολογίας δῆλον γίγνεται· σαφηνείας χάριν παρατιθέμεθα ὁλόκληρον τὸ χωρίον· „ἀναγκαῖον γοῦν τὸ πολιτεύεσθαι ὀρθῶς, ἄριστον δὲ τὸ φιλοσοφεῖν· ὁ γὰρ νοῦν ἔχων πάντα τὰ αὑτοῦ εἰς γνῶσιν συντείνας βιώσειε, κατευθύνας μὲν τὸν νοῦν ἔργοις ἀγαθοῖς, ἀτιμάσας δὲ τὰ ἐναντία, τά τε πρὸς ἀλήθειαν συλλαμβανόμενα μεθέπων μαθήματα“* [3]).

§ 7. *Μετὰ τὰ ἄνω εἰρημένα ἔξεστιν ἡμῖν μετὰ τοῦ* Cognat *ἐρωτῆσαι καὶ ἅμα ἀποκρίνασθαι,* Qu'y a-t-il de commun entre les deux theories? quelques formules scientifiques empruntées au Stoïcisme et interpretées par Clément dans un sens chrétien [4]). *Οἱ Στωϊκοὶ προσάπτουσι μὲν τῷ σοφῷ ἐλευθερίαν, εὐγένειαν, ἱερωσύνην, βασιλείαν καὶ τὰ παραπλήσια, ὧν πρότερον ἐμνημονεύσαμεν, ἀνομολογοῦσιν ὅμως ὅτι οὗτος, ὥς φησι Κλήμης, δυσεύρετος πάνυ σφόδρα ἐστίν* [5]). *Ἡ ἔννοια ἄρα τοῦ σοφοῦ παρὰ τοῖς Στωϊκοῖς δηλοῖ ἰδεῶδές τι, ἐστὶ λέξις κενή, εἰκών, ἧς οἱ χαρακτῆρες οὐχ εὑρίσκονται ἐν τῷ πραγματικῷ βίῳ* [6]). *Παρὰ τοῖς φιλοσόφοις, λέγει Κλήμης, ἐστὶ τὰ ὀνόματα, παρ'*

---

1) Feldherr und Gesetzgeber. Merk, p. 76. — 2) Wie stark das Bild des stoischen Weisen Clemens Geiste eingeprägt war, zeigt sich darin, dass Clemens alle die auf den Staat sich beziehenden Tugenden desselben seinem Gnostiker vindicirt, zu einer Zeit, da die Bethätigung derselben dem Christen vom Staate aus unmöglich gemacht war. Merk, p. 75. — 3) *Στρωμ.* I, XXV. § 166. — 4) Cognat, p. 359. — 5) *Στρωμ.* II, IV. § 19. — 6) Zeller III, I. S. 157. — Heinze I. S. 240.

ἡμῖν τὰ πράγματα· ὑπογράφων οὖν τὴν λαμπρὰν τοῦ γνωστικοῦ εἰκόνα, εἶχεν ὁμολογουμένως πρὸ ὀφθαλμῶν πράγματα, ἀρετὴν καὶ τελειότητα ἐκθαμβήσασαν τοὺς Ἐθνικούς, ἠθικὸν μεγαλεῖον, ὃ ἡ δύναμις τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεφθαρμένης παρήγαγε, φωστῆρας ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντας [1]. Ὁ δίκαιος τοῦ Πλάτωνος, ὁ μεγάθυμος τοῦ Ἀριστοτέλους καὶ ὁ σοφὸς τῆς Στωᾶς ἦσαν ὀνόματα, ὁ γνωστικὸς τοῦ Κλήμεντός ἐστι πρᾶγμα. Τὸν πάντα ὁμοῦ τέλειον, ὃν ἐπόθει μαθεῖν [2], εὗρεν ὁ Κλήμης ἐν τῷ Εὐαγγελίῳ, τὸν σχετικῶς τέλειον ἠρύσατο ἐκ τοῦ βίου τῶν πιστῶν, ὧν ἕκαστος δύναται τελειοῦσθαι· αὐτὸς γὰρ λέγει „τελειοῦταί τις ὡς εὐλαβὴς καὶ ὡς ὑπομονητικὸς καὶ ὡς ἐγκρατὴς καὶ ὡς ἐργάτης καὶ ὡς μάρτυς καὶ ὡς γνωστικός· πάντα δὲ ὁμοῦ τέλειος οὐκ οἶδ' εἴ τις ἀνθρώπων ἔτι ἄνθρωπος ὤν, πλὴν μόνον ὁ δι' ἡμᾶς ἄνθρωπον ἐνδυσάμενος“ [3]. Ζῶσι γνωστικοῖς ἐνέτυχε καὶ ἐπὶ μακρὸν τούτοις ὡμίλησεν ὁ Κλήμης· οὗτοι ἦσαν οἱ διδάσκαλοι αὐτοῦ, ἄνδρες, ὡς λέγει, μακάριοι καὶ τῷ ὄντι ἀξιόλογοι, ἐναργεῖς καὶ ἔμψυχοι εἰκόνες τῆς ἀρετῆς, ὧν ὁ ὕστατος ἐν Αἰγύπτῳ (βεβαίως ὁ Πάνταινος) δυνάμει πρῶτος ὤν, Σικελικὴ τῷ ὄντι μέλιττα, ἀκήρατόν τι γνώσεως χρῆμα ταῖς τῶν ἀκροωμένων ἐνεγέννησε ψυχαῖς [4]. Οἱ λόγοι τοῦ Κλήμεντος οὐκ εἰσι ῥητορικὴ μεγαληγορία οὐδ' ἐξημμένης φαντασίας ἀποκυήματα, ἀλλὰ πιστὴ εἰκὼν τῶν συγχρόνων αὐτῷ τελείων γνωστικῶν, τῶν ἐν πίστει τελειωθέντων· „Καὶ ἡ πίστις αὐτὸν (τὸν γνωστικὸν) ἀποκαταστήσει Νινευΐταις προφητεύοντα, κἂν μετὰ λεόντων καθειρχθῇ, ἡμερώσει τὰ θηρία, κἂν εἰς πῦρ ἐμβληθῇ, δροσισθήσεται, ἀλλ' οὐκ ἐκπυρωθήσεται, μαρτυρήσει νύκτωρ, μαρτυρήσει μεθ' ἡμέραν, ἐν λόγῳ, ἐν βίῳ, ἐν τρόπῳ μαρτυρήσει· σύνοικος ἐν τῷ Κυρίῳ, ὀαριστής τε καὶ

---

1) Φιλιπ. 2, 15, 16. — 2) Ἡμεῖς δὲ τὸν ἀεὶ καὶ ἐν πᾶσι δίκαιον ποθοῦμεν μαθεῖν. Στρωμ. IV, XXII. § 145. — 3) Στρωμ. IV, XXI. § 132. — 4) Στρωμ. Ι, I. § 11.

συνέστιος κατὸ τὸ πνεῦμα διαμένει καθαρὸς μὲν τὴν σάρκα, καθαρὸς δὲ τὴν καρδίαν, ἡγιασμένος τὸν λόγον· „ὁ κόσμος τούτῳ, φησίν, ἐσταύρωται καὶ αὐτὸς τῷ κόσμῳ“ (Γαλ. 6, 14)· οὗτος τὸν σταυρὸν τοῦ Σωτῆρος περιφέρων ἕπεται Κυρίῳ μετ' ἴχνιον ὥστε θεὸς ἅγιος ἁγίων γενόμενος“ [1]. *Ἐξ αὐτοῦ ἄρα τοῦ Εὐαγγελίου καὶ τῶν θαυμασίων αὐτοῦ καρπῶν προῆλθεν ὁ γνωστικὸς τοῦ Κλήμεντος, καὶ οὐχὶ ἐκ τῶν φιλοσοφικῶν συστημάτων καὶ τῆς τῶν Ἐθνικῶν ἠθικῆς, καὶ δὴ ὁπότε πόθῳ θερμῷ ἐφλέγετο καὶ παντὶ σθένει ἠγωνίζετο, ὡς μαρτυρεῖ τὰ ὄντως πολύτιμα αὐτοῦ συγγράμματα* [2], *τοὺς Ἐθνικοὺς εἰς τὸ φῶς ἑλκύσαι τοῦ Εὐαγγελίου.*

---

1) *Στρωμ.* II, XX § 104. *πρβλ.* § 125. *Ἡμῖν δὲ ἄφθονοι μαρτύρων πηγαὶ ἑκάστης ἡμέρας ἐν ὀφθαλμοῖς ἡμῶν θεωρούμεναι παροπτωμένων, ἀνασκινδυλευμένων, τὰς κεφαλὰς ἀποτεμνομένων.* — 2) *Τὰ περισωθέντα τοῦ Κλήμεντος συγγράμματα (Προτρεπτικός, Παιδαγωγός, Στρωματεῖς καί, Τίς ὁ σωζόμενος πλούσιος) μεγάλην κέκτηται ἀξίαν καὶ σπουδαιότητα οὐ μόνον ἐν τῇ σειρᾷ τῆς Πατρολογίας, ἀλλὰ καὶ ἐν τῇ καθόλου ἑλληνικῇ γραμματολογίᾳ· ὅθεν καὶ ὁ σοφὸς Συλβούργιος οὐκ ἐδίστασε Χριστιανὸν Πλούταρχον καὶ Ἀθήναιον ἀποκαλέσαι τὸν Κλήμεντα· πλειόνων γὰρ ἢ τριακοσίων μνημονεύει συγγραφέων, ἱερῶν τε καὶ Ἐθνικῶν, καὶ τούτων χωρία καὶ γνώμας παρατίθεται·* „Praeter theologicas disputationes, tam varius est hic scriptor, ut non immerito Plutarchus et Athenaeus christianus appellari queat: atque adeo illorum ipsorum buculis passim hoc arvum suum exaravit, aut saltem ex iisdem, ex quibus illi fontibus, pleraque petivit omnia. Quamobrem ut Theodorus Gaza superiori seculo interrogatus, si omnes scriptores Graeci periissent, quonam uno superstite cognosci possit Graeciae veteris eruditio, Plutarchum nominavit: ita si et Plutarchus et Athenaeus intercidissent, ex uno Clemente nostro intelligi posset, quam multa et quam varia Graeci reliquerint ingenii sui monumenta. Nam trecentis plures a Clemente citantur auctores tam sacri quam profani: quorum multi ne momine quidem hucusque fuere cogniti“. (Sylburg. Epist. a. 1594, ad acad. Marburgensis doctores scripta, apud Potter, p. 1038). — Seine Schriften sind deshalb sehr werthvol für die Kenntniss des antiken Lebens und der griechischen Litteratur. Herzog etc. S. 270. — Le docteur Alexandrin déploie une érudition, dont on ne trouve peut-être ni avant ni après lui un second exemple dans l'Eglise. Cognat p. 69.